DI

MARCO AURELIO ANTONINO

IMPERATORE E FILOSOFO

RICORDI

TRADOTTI

DAL

CONTE MICHELE MILANO

VOL. II

NAPOLI

PRESSO VINCENZO ORSINI

MDCCCXXII

DE'

RICORDI

DI

MARCO AURELIO ANTONINO

TRADOTTI

LIB. VII.

. . . tantæ tranquillitatis, ut vultum nunquam mutaverit mœrore vel gaudio.

CAPITOLINUS *in Marco.*

n h

ΜΑΡΚΟΥ ΑΥΡΗΛΙΟΥ ΑΝΤΩΝΙΝΟΥ

ΤΩΝ ΕΙΣ ΕΑΥΤΟΝ

ΒΙΒΛΙΟΝ Ζ'.

α'. Τι ἐςὶ κακία; τῦτ' ἐςιν, ὃ πολλάκις εἶδες· ϗ ἐπὶ παντὸς δὲ τῦ συμβαίνοντος πρόχειρον ἔχε, ὅτι τῦτό ἐςιν ὃ πολλάκις εἶδες. ὅλως ἄνω κάτω τὰ αὐτὰ εὑρήσεις, ὧν μεςαὶ αἱ ἱςορίαι αἱ παλαιαὶ, αἱ μέσαι, αἱ ὑπόγυιοι· ὧν νῦν μεςαὶ αἱ πόλεις ϗ οἰκίαι. ὐδὲν καινόν· πάντα ϗ συνήθη ὀλιγοχρόνια.

β'. Τὰ δόγματα πῶς ἄλλως δύναται νεκρωθῆναι, ἐὰν μὴ αἱ κατάλληλαι αὐτοῖς φαν-

DI MARCO AURELIO ANTONINO

RICORDI

Libro Settimo

I. Che cosa è la malvagità? — Ciò che spesso hai veduto. In ogni accidente dirai con te subito, questo è quello che ho veduto spesso. Da per tutto, all'in su, all'in giù, ritroverai che delle medesime cose son piene le storie, ed antiche, e de' tempi di mezzo, e moderne; non altrimenti che oggi ne sono piene le città, e le famiglie. Nulla di nuovo. Tutto sòlito, e di breve durata.

II. In qual altro modo si potranno i tuoi dogmi distruggere, se i pensieri a loro con-

τασίας σβεσθῶσιν; ὡς διηνεκῶς ἀναζωπυρεῖν ἐπὶ σοί ἐστι· δύναμαι περὶ τούτου, ὃ δεῖ, ὑπολαμβάνειν. εἰ δύναμαι, τί ταράσσομαι; τὰ ἔξω τῆς ἐμῆς διανοίας οὐδὲν ὅλως πρὸς τὴν ἐμὴν διάνοιαν· τοῦτο μάθε, καὶ ὀρθὸς εἶ.

Ἀναβιῶναι σοι ἔξεστιν· ἴδε πάλιν τὰ πράγματα, ὡς ἑώρας· ἐν τούτῳ γὰρ τὸ ἀναβιῶναι.

γ'. Πομπῆς κενοσπουδία, ἐπὶ σκηνῆς δράματα, ποίμνια, ἀγέλαι, διαδορατισμοί, κυνιδίοις ὀστάριον ἐρριμμένον, ψωμίον εἰς τὰς τῶν ἰχθύων δεξαμενάς, μυρμήκων ταλαιπωρίαι, καὶ ἀχθοφορίαι, μυϊδίων ἐπτοημένων διαδρομαί, σιγιλλάρια νευροσπαστούμενα· χρὴ οὖν ἐν τούτοις εὐμενῶς μὲν καὶ μὴ φρυαττόμενον ἱστάναι· παρακολουθεῖν μέν τοι, ὅτι τοσούτου ἄξιος ἕκαστός ἐστιν ὅσου ἄξιά ἐστι ταῦτα περὶ ἃ ἐσπούδακεν.

δ'. Δεῖ κατὰ λέξιν παρακολουθεῖν τοῖς λεγομένοις, καὶ καθ' ἑκάστην ὁρμὴν γινομένοις.

formi non si estinguono? Oh come sta a te di continuamente ravvivarli! Io di questa cosa posso giudicare secondo conviene. Ma se lo posso, perchè mi conturbo? Quello ch' è fuori della mia mente non ha punto forza sopra di lei. Sostieni ciò, e sarai retto.

Tu puoi ritornare in vita. Pensa alle cose che vedesti per lo passato. In ciò consiste il rivivere.

III. La vanità della pompa, le rappresentanze sceniche, i greggi, gli armenti, i giuochi d'asta, un picciolo osso gettato a' cagnuoli, i minuzzoli di pane fatti cadere in un vivaio, gli affaticamenti ed il trasportar delle formiche, il correre qua e là de' topi spaventati, i fantocci che si muovon pe' fili..... Bisogna star placido fra questi oggetti, non averli a sdegno; sebbene conoscere che l'uomo tanto è degno di stima quanto degno è di stima l'oggetto al quale egli attende.

IV. È d'uopo stare attento al discorso di coloro che parlano, a ciascun moto di coloro

καὶ ἐπὶ μὲν τοῦ ἑτέρου, εὐθὺς ὁρᾶν, ἐπὶ τίνος σκόπου ἡ ἀναφορά· ἐπὶ δὲ τοῦ ἑτέρου, παραφυλάσσειν, τί τὸ σημαινόμενον.

έ. Πότερον ἐξαρκεῖ ἡ διάνοιά μου πρὸς τοῦτο, ἢ οὔ; εἰ μὲν ἐξαρκεῖ, χρῶμαι αὐτῇ πρὸς τὸ ἔργον, ὡς ὀργάνῳ παρὰ τῆς τῶν ὅλων φύσεως δοθέντι, εἰ δὲ μὴ ἐξαρκεῖ, ἤτοι παραχωρῶ τοῦ ἔργου τῷ δυναμένῳ κρεῖττον ἐπιτελέσαι, ἐὰν ἄλλως τοῦτο μὴ καθήκῃ· ἢ πράσσω ὡς δύναμαι, προσπαραλαβὼν τὸν δυνάμενον κατὰ πρόσχρησιν τοῦ ἐμοῦ ἡγεμονικοῦ ποιῆσαι τὸ εἰς τὴν κοινωνίαν νῦν καίριον καὶ χρήσιμον. ὅ, τι γὰρ ἂν δι' ἐμαυτοῦ, ἢ σὺν ἄλλῳ ποιῶ, ὧδε μόνον χρὴ συντείνειν, εἰς τὸ κοινῇ χρήσιμον καὶ εὐάρμοστον.

ϛ'. Ὅσοι μὲν πολυύμνητοι γενόμενοι, ἤδη λήθῃ παραδέδονται; ὅσοι δὲ τούτους ὑμνήσαντες πάλαι ἐκποδών;

ζ'. Μὴ αἰσχύνου βοηθούμενος· πρόκειται γάρ σοι ἐνεργεῖν τὸ ἐπιβάλλον, ὡς στρατιώτῃ ἐν

che operano; ed in questo veder subito quale scopo si abbia, in quello badar bene al significato.

V. Il mio intelletto è sufficiente a questo, o no? S' è sufficiente, io men valgo per operare, come di uno strumento datomi dalla natura dell' universo. Se non è sufficiente, o cedo l' opera a chi può meglio condurla a fine (purchè non debba farla io stesso); o la porto innanzi come posso, togliendo in aiuto colui che, con la cooperazione del mio intelletto, sia in grado di compiere quello che attualmente è di stagione, ed utile per la società. In vero quanto fo da me, o con l' aiuto altrui, solo aver dee per iscopo il vantaggio comune, ed essere a questo adattato.

VI. Oh quanti che furono molto celebrati, caddero in obblio! Oh quanti che li celebrarono, da gran tempo, non sono più!

VII. Non arrossir dell' aiuto. È tuo dovere di attendere al propio ufficio come il sol-

τειχομαχία. τί οὖν ἐὰν σὺ μὲν χωλαίνων ἐπὶ τὴν ἔπαλξιν ἀναβῆναι μόνος μὴ δύνῃ, σὺν ἄλλῳ δὲ δυνατὸν ᾖ τοῦτο;

η΄. Τὰ μέλλοντα μὴ ταρασσέτω. ἥξεις γὰρ ἐπ᾽ αὐτὰ, ἐὰν δεήσῃ, φέρων τὸν αὐτὸν λόγον, ᾧ νῦν πρὸς τὰ παρόντα χρῇ.

θ΄. Πάντα ἀλλήλοις ἐπιπλέκεται καὶ ἡ σύνδεσις ἱερὰ, καὶ σχεδόν τι οὐδὲν ἀλλότριον ἄλλο ἄλλου. συγκατατέτακται γὰρ, καὶ συγκοσμεῖ τὸν αὐτὸν κόσμον. κόσμος τε γὰρ εἷς διὰ ἁπάντων, Θεὸς εἷς διὰ πάντων, καὶ οὐσία μία, καὶ νόμος εἷς, λόγος κοινὸς πάντων τῶν νοερῶν ζώων, καὶ ἀλήθεια μία· εἴγε καὶ τελειότης μία τῶν ὁμογενῶν, καὶ τοῦ αὐτοῦ λόγου μετεχόντων ζώων.

ι΄. Πᾶν τὸ ἔνυλον, ἐναφανίζεται τάχιστα τῇ τῶν ὅλων οὐσίᾳ· καὶ πᾶν αἴτιον, εἰς τὸν τῶν ὅλων λόγον τάχιστα ἀναλαμβάνεται· καὶ παντὸς μνήμη τάχιστα ἐγκαταχώννυται τῷ αἰῶνι.

dato in una mural tenzone. Or che faresti se, divenuto zoppo, non potessi ascender solo sulla rocca, e con l'aiuto di altri lo potessi?

viii. Non angustiarti per vicende future. Tu perverrai ad esse, se sarà d'uopo, munito della medesima ragione di cui ti servi nelle vicende presenti.

ix. Tutte le cose sacra concatenazione lega fra loro, e quasi niuna è straniera all'altra: poichè formano un complesso, e così l'universo abbelliscono. Il mondo è uno, uno è Dio da per tutto, una la materia, una la legge, ch'è la ragion comune a tutti gli animali intelligenti, una la verità; del pari che una è la perfezione per le cose dello stesso genere, e per gli animali, che partecipano della stessa ragione.

x. Ogni cosa corporea va rapidamente a dissiparsi nella sostanza dell'universo. Tutto ciò che produce le azioni è rapidamente riassorbito nella ragione universale. La memoria di tutto inghiottono i secoli rapidamente.

ια'. Τῷ λογικῷ ζώῳ ἡ αὐτὴ πρᾶξις κατὰ φύσιν ἐςὶ, καὶ κατὰ λόγον.

ιβ'. Ορθός, ἢ ὀρθούμενος.

ιγ'. Οἷόν ἐςιν ἐν ἡνωμένοις τὰ μέλη τοῦ σώματος, τοῦτον ἔχει τὸν λόγον ἐν διεςῶσι τὰ λογικὰ, πρὸς μίαν τινὰ συνεργίαν κατεσκευασμένα. μᾶλλον δέ σοι ἡ τούτου νόησις προσπεσεῖται, ἐὰν πρὸς ἑαυτὸν πολλάκις λέγης, ὅτι μέλος εἰμὶ τοῦ ἐκ τῶν λογικῶν συςήματος. ἐὰν δὲ διά τοῦ ῥῶ ςοιχείου μέρος εἶναι ἑαυτὸν λέγης, οὔπω ἀπὸ καρδίας φιλεῖς τοὺς ἀνθρώπους· οὔπω σε καταληπτικῶς εὐφραίνει τὸ εὐεργετεῖν· ἔτι ὡς πρέπον αὐτὸ ψιλὸν ποιεῖς· οὔπω ὡς αὐτὸν εὖ ποιῶν.

ιδ'. Ο θέλει, ἔξωθεν προσπιπτέτω τοῖς παθεῖν ἐκ τῆς προσπτώσεως ταύτης δυναμένοις. ἐκεῖνα γὰρ, ἐὰν θελήσῃ, μέμψεται τὰ παθόντα· ἐγὼ δὲ, ἐὰν μὴ ὑπολάβω ὅτι κακὸν τὸ συμβεβηκὸς, οὔπω βέβλαμμαι. ἔξε-

XI. Nell' animal ragionevole la stessa azione è ad un tempo secondo la natura, e secondo la ragione.

XII. Retto sii o raddirizzato.

XIII. Come i membri uniti del corpo stanno in mutua relazione; così gli esseri ragionevoli, sebben divisi, stanno in relazione fra loro: poichè nati per cooperare insieme. Ciò s' imprimerà meglio nel tuo intelletto se frequentemente dirai fra te, io sono membro di questo complesso di elementi ragionevoli. Che se, mutando una lettera alla voce μέλος (membro), ti dirai μέρος (parte), tu non amerai di cuore gli uomini, tu non il beneficare amerai per se medesimo. Ma opererai solo per convenienza, nè come se il propio individuo beneficassi.

XIV. Avvenga quel che si vuole di esteriore a quegli oggetti da' quali patir possonsi questi accidenti. Essi che li soffrono sen dolgano pure a lor voglia. Per me, se io non reputo un male l'avvenimento, esso

στι δέ μοι μὴ ὑπολαβεῖν.

ιέ. Ὅ, τι ἂν τις ποιῇ ἢ λέγῃ, ἐμὲ δεῖ ἀγαθὸν εἶναι. ὡς ἂν εἰ ὁ χρυσὸς, ἢ ὁ σμάραγδος, ἢ ἡ πορφύρα τοῦτο ἀεὶ ἔλεγεν, ὅ, τις ἂν ποιῇ, ἢ λέγῃ, ἐμὲ δεῖ σμάραγδον εἶναι, καὶ τὸ ἐμαυτοῦ χρῶμα ἔχειν.

ιϛ΄. Τὸ ἡγεμονικὸν ; . αὐτὸ ἑαυτῷ οὐκ ἐνοχλεῖ. οἷον, λέγω, οὐ φοβεῖ ἑαυτὸ οὐκ ἄγει εἰς ἀθυμίαν. εἰ δέ τις ἄλλος αὐτὸ φοβῆσαι ἢ λυπῆσαι δύναται, ποιείτω. αὐτὸ γὰρ ἑαυτὸ ὑποληπτικῶς οὐ τρέψει εἰς τοιαύτας τροπάς. τὸ σωμάτιον · μὴ πάθῃ τι, αὐτὸ μεριμνάτω, εἰ δύναται, καὶ λεγέτω, εἴ τι πάσχει · τὸ δὲ ψυχάριον, τὸ φοβούμενον, τὸ λυπούμενον, τὸ περὶ τούτων ὅλως ὑπολαμβάνον, οὐδὲν μὴ πάθῃ, οὐ γὰρ ἕξεις αὐτὸ εἰς κρίσιν τοιαύτην ἀπροσδεὲς ἐστιν ὅσον ἐφ' ἑαυτῷ.

Τὸ ἡγεμονικὸν, ἐὰν μὴ ἑαυτῷ ἔνδειαν ποιῇ· κατὰ ταὐτὰ δὲ καὶ ἀτάραχον, καὶ ἀνεμπόδιστον, ἐὰν μὴ ἑαυτὸ ταράσσῃ καὶ ἐμποδίζῃ.

non mi ferisce. Or io son padrone di non reputarlo un male.

xv. Che che altri faccia o dica, a me conviene esser probo, e come l'oro, ovver lo smeraldo, o la porpora, che direbbero di continuo, qualunque cosa altri faccia o dica, io debbo essere smeraldo, e conservare il propio colore.

xvi. La parte reggitrice di noi non conturba se stessa. Per esempio, non si atterrisce, non si scoraggia. E, dove altri possa intimorirla od affliggerla, che il faccia. Ella certo, da se, non volgerà la opinione verso tali commovimenti. Il corpo attenda a non patire, se può; e se patisce, lo dica. Ma l'anima, la quale riceve le impressioni della tema, e del dolore, e che giudica liberamente, nulla soffrirà; poichè sensazioni di tal genere non avverte.

La parte reggitrice è fuori di ogni bisogno, purchè bisogni a se stessa ella non faccia. Del pari è imperturbabile, ed agli

ιζʹ. Εὐδαιμονία ἐστὶ δαίμων ἀγαθὸς, ἢ ἀγαθόν. τί οὖν ὧδε ποιεῖς, ὦ φαντασία; ἀπέρχου, τοὺς θεούς σοι, ὡς ἦλθες· οὐ γὰρ χρήζω σου. ἐλήλυθας δὲ κατὰ τὸ ἀρχαῖον ἔθος. οὐκ ὀργίζομαί σοι. μόνον ἄπιθι.

ιηʹ. Φοβεῖταί τις μεταβολήν; τί γὰρ δύναται χωρὶς μεταβολῆς γενέσθαι; τί δαὶ φίλτερον ἢ οἰκειότερον τῇ τῶν ὅλων φύσει; σὺ δὲ αὐτὸς λούσασθαι δύνασαι, ἐὰν μὴ τὰ ξύλα μεταβάλῃ; τραφῆναι δὲ δύνασαι, ἐὰν μὴ τὰ ἐδώδιμα μεταβάλῃ; ἄλλο δέ τι τῶν χρησίμων δύναται συντελεσθῆναι χωρὶς μεταβολῆς; οὐχ ὁρᾷς οὖν, ὅτι καὶ αὐτὸ τὸ σὲ μεταβαλεῖν ὅμοιόν ἐστι καὶ ὁμοίως ἀναγκαῖον τῇ τῶν ὅλων φύσει;

ιθʹ. Διὰ τῆς τῶν ὅλων οὐσίας, ὡς διὰ χειμάρρου διεκπορεύεται πάντα τὰ σώματα, τῷ ὅλῳ συμφυῆ καὶ συνεργὰ, ὡς τὰ ἡμέτερα μέρη ἀλλήλοις.

ostacoli superiore, purchè a se stessa ella non rechi perturbazione, od impedimento.

XVII. La felicità, o il bene assoluto, consiste nell'avere un buon genio, una buona guida. Dunque che fai quì, o immaginazione? Deh, per gli dei, parti come venisti! Di te io non ho d'uopo. Sei venuta secondo l'antico tuo costume. Non mi adiro teco. Ma solo parti.

XVIII. Teme taluno il cambiamento? Ma e che, senza cambiamento, può farsi? Che di più amico, di più familiare per la natura dell'universo? E potresti te lavare, se non cambiasser le legne? E nutrir te potresti, se i cibi non cambiassero? Che altro mai di utile potrassi, senza cambiamento, effettuare? Non vedi il cambiamento tuo essere del pari necessario ed a te ed alla natura dell'universo?

XIX. Come le molecole aquee in un torrente, così nella materia universale scorrono tutt' i corpi. Essi sono della natura di lei, e con lei cooperano, come le parti nostre fra loro.

Πόσους ἤδη ὁ αἰὼν Χρυσίππους, πόσους Σωκράτεις, πόσους Ἐπικτήτους καταπέπωκεν; τὸ δ' αὐτὸ καὶ ἐπὶ παντὸς ὁτουοῦν σοι ἀνθρώπου τε καὶ πράγματος προσπιπτέτω.

κ'. Ἐμὲ ἓν μόνον περισπᾷ, μήτι αὐτὸς ποιήσω, ὃ ἡ κατασκευὴ τοῦ ἀνθρώπου οὐ θέλει, ἢ ὡς οὐ θέλει, ἢ ὃ νῦν οὐ θέλει.

κα'. Ἐγγὺς μὲν ἡ σὴ περὶ πάντων λήθη· ἐγγὺς δὲ ἡ πάντων περὶ σοῦ λήθη.

κβ'. Ἴδιον ἀνθρώπου φιλεῖν καὶ τοὺς πταίοντας. τοῦτο δὲ γίνεται, ἐὰν συμπροσπίπτῃ σοι, ὅτι καὶ συγγενεῖς, καὶ δι' ἄγνοιαν, καὶ ἄκοντες ἁμαρτάνουσι, καὶ ὡς μετ' ὀλίγον ἀμφότεροι τεθνήξετε, καὶ πρὸ πάντων, ὅτι οὐκ ἔβλαψέ σε, οὐ γὰρ τὸ ἡγεμονικόν σου χεῖρον ἐποίησεν, ἢ πρόσθεν ἦν.

κγ'. Ἡ τῶν ὅλων φύσις, ἐκ τῆς ὅλης οὐσίας, ὡς κηροῦ, νῦν μὲν ἱππάριον ἔπλασε· συγχέασα δὲ τοῦτο, εἰς δένδρου φύσιν συνε-

Oh quanti Crisippi, quanti Socrati, quanti Epitteti ha già inghiottiti il tempo! Lo stesso di qualunque uomo rifletti, e di qualunque cosa.

XX. Me solo affanna la tema di far cose che la condizione dell' uomo non vuole, o in modo diverso da quello che vuole, o che non vuole attualmente.

XXI. L' ora nella quale tutto dimenticherai ti sta sopra. Il tempo in cui tutti te obblieranno è imminente.

XXII. Propio è dell' uomo amare anche coloro che l' offendono. Tu gli amerai se ti sovverrà essere tuoi congiunti; peccar essi per ignoranza, e non volendo; che, fra poco, tutti dall' una e dall' altra parte morrete; e principalmente non averti essi nociuto, poichè la parte reggitrice di te rendere non potevan peggiore di quanto lo era innanzi.

XXIII. Natura, della materia universale, come della cera, ora forma un cavallo; poi, distrutto il cavallo, della materia di questo

χρήσαιτο τῇ ὕλῃ αὐτοῦ· εἶτα εἰς ἀνθρωπάριον, εἶτα εἰς ἄλλο τι· ἕκαστον δὲ τούτων πρὸς ὀλίγιστον ὑπέστη. δεινὸν δὲ οὐδὲν τῷ διαλυθῆναι τῷ κιβωτίῳ· ὥσπερ οὐδὲ τὸ συμπαγῆναι.

κδ'. Τὸ ἐπίκοτον τοῦ προσώπου λίαν παρὰ φύσιν, ὅταν πολλάκις ἐναποθνήσκειν ἢ πρόσχημα; ἢ τὸ τελευταῖον ἀπεσβέσθη, ὥστε ὅλως ἐξαφθῆναι μὴ δύνασθαι. αὐτῷ γε τούτῳ παρακολουθεῖν πειρῶ, ὅτι παρὰ τὸν λόγον.

Εἰ γὰρ καὶ ἡ συναίσθησις τοῦ ἁμαρτάνειν οἰχήσεται, τίς ἔτι τοῦ ζῆν αἰτία;

κε'. Πάντα ὅσα ὁρᾷς, ὅσον οὔπω μεταβαλεῖ ἡ τὰ ὅλα διοικοῦσα φύσις, καὶ ἄλλα ἐκ τῆς οὐσίας, αὐτῶν ποιήσει καὶ πάλιν ἄλλα ἐκ τῆς ἐκείνων οὐσίας, ἵνα ἀεὶ νεαρὸς ᾖ ὁ κόσμος.

κς'. Οταν τις ἁμάρτῃ τι εἰς σὲ, εὐθὺς ἐνθυμοῦ, τί ἀγαθὸν ἢ κακὸν ὑπολαβὼν ἥμαρτε. τοῦτο γὰρ ἰδὼν, ἐλεήσεις αὐτὸν, καὶ οὔτε

servesi per formare un albero; indi un uomo; indi altra cosa; e ciascuna di tali suo opere ha breve durata. Però un forziere non riceve molestia dall'esser disfatto, del pari che non ne ha ricevuto dall'essere stato composto.

XXIV. Sguardo abitualmente aspro è molto contro natura; poichè sovente ammorta il colore, ed alla fine lo estingue in modo che non può più ravvivarsi. Da ciò conosci quello essere contra la ragione.

Se l'uomo perde il sentimento de' falli, a che vive egli ancora?

XXV. Le cose che vedi, tutte fra poco muterà la natura che governa l'universo; e della materia di esse altre cose farà; e della materia di queste altre di nuovo: acciocchè il mondo sia giovane sempre.

XXVI. Quando uno ti fa mancamento, rifletti subito che cosa, mancando, abbia egli creduto operar di bene, o di male. Cono-

θαυμάσεις, οὐκ ὀργισθήσῃ. ἤτοι γὰρ καὶ αὐτὸς τὸ αὐτὸ ἐκείνῳ ἀγαθὸν ἔτι ὑπολαμβάνεις, ἢ ἄλλο ὁμοειδές. δεῖ οὖν συγγινώσκειν. εἰ δὲ μηκέτι ὑπολαμβάνεις τὰ τοιαῦτα ἀγαθὰ ϗ κακὰ ῥᾷον εὐμενὴς ἔσῃ τῷ παρορῶντι.

κζ'. Μὴ τὰ ἀπόντα ἐννοεῖν, ὡς ἤδη ὄντα· ἀλλὰ τῶν παρόντων τὰ δεξιώτατα ἐκλογίζεσθαι, ϗ τούτων χάριν ὑπομιμνήσκεσθαι, πῶς ἂν ἐπεζητεῖτο, εἰ μὴ παρῆν. ἅμα μέντοι φυλάσσου, μὴ διὰ τοῦ οὕτως ἀσμενίζειν αὐτοῖς, ἐθίσῃς ἐκτιμᾷν αὐτά, ὥστε, ἐάν ποτε μὴ παρῇ, ταραχθήσεσθαι.

κη'. Εἰς αὑτὸν συνειλοῦ. φύσιν ἔχει τὸ λογικὸν, ἡγεμονικὸν, ἑαυτῷ ἀρκεῖσθαι δικαιοπραγοῦντι, καὶ παρ' αὐτὸ τοῦτο γαλήνην ἔχοντι.

sciuto ciò, tu il compatirai, senza nè sorprenderti, nè adirarti. Poichè, se ti formerai la stessa idea del bene ch'egli si formò, ovvero ne concepirai altra simile; dovere ti sarà il perdonarlo; e, se il suo oggetto non si stimerà da te nè bene, nè male, sarai con lui più facilmente benigno, avendo egli traveduto [2].

XXVII. Le cose mancanti non sono a considerare in ugual modo che quelle le quali si hanno. Anzi debbonsi scegliere di quelle che si hanno, le più atte a renderti felice; e ricordare con quanto desiderio sarebbero ricercate, se non fosser presenti. Però, nello stesso tempo, guardati di far loro troppo accoglimento; perchè, assuefatto a tenerle in gran pregio, non avessi a conturbarti, in caso ti mancassero.

XXVIII. In te raccogliti. La parte ragionevole e principale è di tal natura, che a se stessa è sufficiente, quando opera con giustizia. Ed in ciò la serenità sua ella ritrova.

χθ'. Ἐξάλειψον τὴν φαντασίαν.

Στῆσον τὴν νευροσπαστίαν.

Περίγραψον τὸ ἐνεστὼς τȣ̃ χρόνȣ.

Γνώρισον τὸ συμβαῖνον, ἢ σοι, ἢ ἄλλῳ.

Δίελε ϗ μέρισον τὸ ὑποκείμενον, εἰς τὸ αἰτιῶδες ϗ ὑλικόν [3].

Ἐννόεσον τὴν ἐσχάτην ὥραν.

Τὸ ἐκείνῳ ἁμαρτηθὲν, ἐκεῖ καταλιπεῖν, ὅπȣ ἡ ἁμαρτία ὑπέστη.

λ'. Συμπαρεκτείνειν τὴν νόησιν τοῖς λεγομένοις. εἰσδύεσθαι τὸν νȣ̃ν εἰς τὰ γινόμενα ϗ ποιȣ̃ντα.

λα'. Φαίδρυνον σεαυτὸν ἁπλότητι ϗ αἰδοῖ ϗ τῇ πρὸς τὸ ἀνὰ μέσον ἀρετῆς καὶ κακίας, ἀδιαφορίᾳ. φίλησον τὸ ἀνθρώπινον γένος. ἀκολȣ́θησον θεῷ.

. . . ἐκεῖνος μὲν φησιν, ὅτι πάντα νομιστί.

Τί δαὶ εἰ μόνα τὰ στοιχεῖα· ἀρκεῖ δὲ μεμνῆσθαι, ὅτι τὰ πάντα νομιστί ἔχει, εἰ μὴ

XXIX. Purifica la immaginazione.

Raffrena quegl' interni commovimenti.

Circoscrivi il tempo presente.

Riconosci quello che avviene, tanto a te, quanto ad un altro.

Nel suggetto distingui, dividi la causa dalla materia.

Pensa all'ora estrema.

Lascia l'errore a chi lo ha commesso, e dove sta.

XXX. Tener l'animo attento alle cose che diconsi. Internare la mente nelle cose che si fanno, e nelle loro cagioni.

XXXI. Adornati di semplicità, di modestia, d'indifferenza per le cose che nè virtù sono, nè vizio. Ama l'uman genere. Cammina sulle orme di Dio: poichè disse quel poeta « tutto regolato essere da una legge invariabile » 4.

Ma, se i soli atomi elementari? Basta ricordare che tutte le cose, poche assai ec-

λίπω ὀλίγα.

λβʹ. Περὶ θανάτου

Εἰ σκεδασμὸς, ἢ ἄτομοι, ἢ κένωσις, ἤτοι σβέσις, ἢ μετάστασις.

λγʹ. Περὶ πόνου.

Τὸ μὲν ἀφόρητον, ἐξάγει· τὸ δὲ χρονίζον, φορητόν· καὶ ἡ διάνοια τὴν ἑαυτῆς γαλήνην κατὰ ἀπόληψιν διατηρεῖ, καὶ οὐ χεῖρον τὸ ἡγεμονικὸν γέγονεν. τὰ δὲ κακούμενα μέρη ὑπὸ τοῦ πόνου, εἴ τι δύναται, περὶ αὐτοῦ ἀποφηνάσθω.

λδʹ. Περὶ δόξης.

Ἴδε τὰς διανοίας αὐτῶν, οἷαι, καὶ οἷα μὲν φεύγουσαι, οἷα δὲ διώκουσαι.

Καὶ ὅτι ὡς αἱ θῖνες ἄλλαι ἐπ' ἄλλαις ἐπιφερόμεναι κρύπτουσι τὰ πρότερα· οὕτως ἐν τῷ βίῳ, τὰ πρότερα ὑπὸ τῶν ἐπενεχθέντων τάχιστα ἐκαλύφθη.

λεʹ. Πλατωνικόν·

Ὧ οὖν ὑπάρχει διάνοια μεγαλοπρεπὴς,

cettuate, hanno una legge costante.

xxxii. Sulla morte.

È dissipamento? Risoluzione in atomi? Votamento? È un estinguersi, od un cambiar di luogo?

xxxiii. Sul dolore.

S' è insoffribile uccide subito. Se dà tempo, è soffribile: poichè la mente, col suo giudicare, conserva la propia serenità, e la guida dell' uomo non si deteriora. D' altronde le parti, che la molestia sentono del dolore, potendolo in modo alcuno, il dimostrino.

xxxiv. Sulla gloria.

Mira i loro pensamenti, ciò che fuggono, ciò che seguono.

Come, de' banchi di sabbia, i prima esistenti da altri che vi si soprappongono sono nascosti; così, nella vita, le cose che precedono da quelle che succedono sono rapidissimamente coperte.

xxxv. Luogo di Platone.

« Dunque colui che ha un pensar gran-

ϗ θεωρία παντὸς μὲν χρόνου, πάσης δὲ οὐσίας, ἆρα οἴει τούτῳ μέγα τι δοκεῖν εἶναι τὸν ἀνθρώπινον βίον; ἀδύνατον, ἦ δ᾽ ὅς. οὐκοῦν ϗ θάνατον οὐ δεινόν τι ἡγήσεται ὁ τοιοῦτος. ἥκιστά γε. „ [5]

λς΄. Ἀντισθενικόν. „ Βασιλικὸν μὲν εὖ πράττειν, κακῶς δὲ ἀκούειν. „ [6]

λζ΄. Αἰχρόν ἐστι, τὸ μὲν πρόσωπον ὑπήκοον εἶναι, ϗ σχηματίζεσθαι, ϗ κατακοσμεῖσθαι ὡς κελεύει ἡ διάνοια, αὐτὴ δ᾽ ὑφ᾽ ἑαυτῆς μὴ σχηματίζεσθαι, ϗ κατακοσμεῖσθαι.

λη΄. „ Τοῖς πράγμασιν γὰρ οὐχὶ θυμοῦσθαι χρέων. „

„ Μέλει γὰρ αὐτοῖς οὐδέν. „ [8]

λθ΄ „ Ἀθανάτοις τε θεοῖς ϗ ἡμῖν χάρματα δοίης. „ [9]

μ΄. „ Βίον θερίζειν, ὥστε κάρπιμον στάχυν,

„ Καὶ τὸν μὲν εἶναι, τὸν δὲ μή. „ [10]

μα΄. „ Εἰ δ᾽ ἠμελήθην ἐκ θεῶν καὶ παῖδ᾽ ἐμώ,

„ Ἔχει λόγον ϗ τοῦτο. „ [11]

μβ΄. „ Τὸ γὰρ εὖ μετ᾽ ἐμοῦ ϗ τὸ δίκαιον „. [12]

μγ΄. Μὴ συνεπιθρηνεῖν, μὴ σφίζειν.

de a bastanza per la contemplazion di ogni tempo, e di ogni essere, credi tu vegga come una gran cosa la vita dell' uomo? — È impossibile. — Quindi nè pure giudicherà un gran male la morte. — No al certo. »

xxxvi. Di Antistene » Fare il bene e sentirsi biasimato, soddisfazioni da re. »

xxxvii. È disonorevole che il volto ubbidisca, si conformi, e si ordini secondo gl' impone la mente, e che questa 7 non si conformi, ed ordini da se stessa.

xxxviii. » Con le cose adirarti non conviene:

» Di niente elle si curano. »

xxxix. » E gl' immortali numi, e noi rallegra. »

xl. » Come le spighe mietesi la vita;
» Altra cade matura, ed altra verde. »

xli. » Se gl' iddii me negligono e i miei figli,
» Ha questo sua ragion. »

xlii. » Sta a me il farmi felice, e il farmi giusto. »

xliii. Agli altrui lamenti non unirti, anzi

μδ'. Πλατωνικά „ Ἐγὼ δὲ τούτῳ ἂν δίκαιον λόγον ἀντείποιμι· ὅτι οὐ καλῶς λέγεις, ὦ ἄνθρωπε, εἰ οἴει δεῖν κίνδυνον ὑπολογίζεσθαι τοῦ ζῆν, ἢ τεθνάναι ἄνδρα, ὅτου τι ϗ σμικρὸν ὄφελος· ἀλλ' οὐκ ἐκεῖνο μόνον σκοπεῖν ὅταν πράττῃ, πότερον δίκαια ἢ ἄδικα πράττει, ϗ ἀνδρὸς ἀγαθοῦ ἔργα ἢ κακοῦ. „ [13]

μέ. „ Οὕτω γὰρ ἔχει, ὦ ἄνδρες Ἀθηναῖοι, τῇ ἀληθείᾳ, οὗ ἄν τις αὑτὸν τάξῃ ἡγησάμενος βέλτιστον εἶναι, ἢ ὑπ' ἄρχοντος ταχθῇ, ἐνταῦθα δεῖ, ὡς ἐμοὶ δοκεῖ, μένοντα κινδυνεύειν, μηδὲν ὑπολογιζόμενον, μήτε θάνατον, μήτε ἄλλο μηδὲν πρὸ τοῦ αἰσχροῦ. „ [14]

μϛ'. „ Ἀλλ', ὦ μακάριε, ὅρα μὴ ἄλλο τι τὸ γενναῖον, ϗ τὸ ἀγαθὸν, ἢ τὸ σώζειν τε ϗ σώζεσθαι. μὴ γὰρ τοῦτο μὲν, τὸ ζῆν ὁποσονδὴ χρόνον, τόν γε ὡς ἀληθῶς ἄνδρα, ἐατέον ἐστὶ, ϗ οὐ φιλοψυχητέον, ἀλλ' ἐπι-

non commuoverti.

XLIV. Di Platone. » Io con giusta ragione gli risponderei, tu non dici bene, se credi debbasi far molto caso de' pericoli della vita, e della morte di un uomo ancorchè utile a qualche cosa; e non piuttosto esaminar solo se, nell'operare, operi egli il giusto, o l'ingiusto, se da uomo buono, o da cattivo. »

XLV. » Questa è la verità, o Ateniesi: se alcuno, da se stesso, si è portato in un posto, reputandol buonissimo; ovvero, se vi è stato collocato dall'arconte, è dovere, secondo a me sembra, egli ivi rimanga, ancorchè avesse a correr pericolo, non tenendo conto nè della morte, nè di altro, fuori che del disonore. »

XLVI. » Ma, uomo da bene, vedi tu se altro vi sia di nobile, di buono, oltre il custodirsi, e custodire? L'uomo veramente uomo aspirar non deve ad una vita di tanti anni, non essere amante del vivere, ma intor-

τρέψαντα περὶ τέτων τῷ θεῷ, ἢ πιςεύσαντα ταῖς γυναιξὶν, ὅτι τὴν εἱμαρμένην ἐδεὶς ἂν ἐκφύγοι, τὸ ἐπὶ τέτῳ σκεπτέον, τίνα ἂν τρόπον, τῦτον ὃν μέλλει χρόνον βιῶναι, ὡς ἄριςα βιώῃ „. 15

μζ'. Περισκοπεῖν ἄςρων δρόμες, ὥσπερ συμπεριθέοντα· ἢ τὰς τῶν ςοιχείων εἰς ἄλληλα μεταβολὰς συνεχῶς ἐννοεῖν. ἀποκαθαίρεσι γὰρ αἱ τέτων φαντασίαι τὸν ῥύπον τῦ χαμαὶ βίε.

μή. Καλὸν τὸ τῦ Πλάτωνος. ἢ δὴ περὶ ἀνθρώπων τὸς λόγες ποιέμενον, ἐπισκοπεῖν δεῖ ἢ τὰ ἐπίγεια, ὥσπερ ποθὲν ἄνωθεν, κατὰ ἀγέλας, ςρατεύματα, γεώργια, γάμες, διαλύσεις, γενέσεις, θανάτες, δικαςηρίων θόρυβον, ἐρήμες χώρας, βαρβάρων ἔθνη ποικίλα, ἑορτὰς, θρήνες, ἀγορὰς, τὸ παμμιγὲς, ἢ τὸ ἐκ τῶν ἐναντίων συγκοσμέμενον.

μθ'. Τὰ προγεγονότα ἀναθεωρεῖν· τὰς τοσαύτας τῶν ἡγεμονιῶν μεταβολάς. ἔξεςι ἢ τὰ ἐσόμενα προεφορᾷν. ὁμοειδῆ γὰρ πάντως

no a ciò rimettersi a Dio; e, persuaso dalle donne, le quali dicono, veruno può fuggire suo fato, esaminar come il tempo che gli resta abbia ad impiegare per vivere ottimamente. »

XLVII. Osserva il corso degli astri, accompagnandolo con la mente come se tu girassi con quelli. Rifletti di continuo alle mutazioni degli elementi fra loro. Questi pensieri mondano dalle brutture la vita terrena.

XLVIII. Bello questo di Platone [16]. Per fare un discorso sugli uomini considerar bisogna come dall'alto queste cose terrene; gli armenti, gli eserciti, l'agricoltura, le nozze, i divorzii, le nascite, le morti, lo strepito de' giudizii, le regioni deserte, i varii popoli barbari, le feste, i lutti, i mercati, la gran quantità degli oggetti fra loro contrarii il mescuglio de' quali compone il mondo.

XLIX. Ricorda il passato: tante mutazioni d'imperii ..... Si può così preveder l'avvenire. Questo sarà del tutto simile a quel-

ἐςαι, καὶ οὐχ οἷόν τε ἐκβῆναι τοῦ ῥυθμοῦ τῶν νῦν γινομένων· ὅθεν καὶ ἴσον, τὸ τεσσαράκοντα ἔτεσιν ἱςορῆσαι τὸν ἀνθρώπινον βίον, τῷ ἐπὶ ἔτη μύρια. τί γὰρ πλέον ὄψει;

νʹ. „ Καὶ τὰ ἐκ γῆς μὲν
„ Φύντ', εἰς γαῖαν· τὰ δ' ἀπ' αἰθερίου
„ Βλαςόντα γονῆς εἰς οὐράνιον
„ Πόλον ἦλθε πάλιν. „ [17]
Ἢ τοῦτο διάλυσις τῶν ἐν ταῖς ἀτόμοις ἀντεμπλοκῶν, καὶ τοιοῦτός τις σκορπισμὸς τῶν ἀπαθῶν ςοιχείων.

ναʹ. Καὶ
„ Σίτοισι καὶ πότοισι, καὶ μαγεύμασι
„ Παρεκτρέποντες ὀχετὸν, ὥςε μὴ θανεῖν.[18]
. . . .
[19] „ Θεόθεν δὲ πνέοντ' οὖρον
„ Ἀνάγκη τλῆναι καμάτοις ἀνοδύρτοις[20]. „

νβʹ. Καββαλιώτερος, ἀλλ' οὐχὶ κοινωνικότερος, οὐδὲ αἰδημονέςερος, οὐδ' εὐτακτότερος ἐπὶ τοῖς συμβαίνουσιν, οὐδὲ εὐμενέςερ@ πρὸς τὰ

lo: nè dal modano uscirà del presente. Quindi è uguale l' essere stato spettatore della vita umana per quarant' anni, ch' esserlo stato per diecimila: Mentre che cosa vedrai di più?

L. » Ritornano alla terra
» Le cose nate dalla terra, e al cielo
» Le generate in ciel. »

Scioglimento della connessione fra gli atomi; dissipazione d' elementi inanimati.

LI. » I cibi, le bevande, la magìa
» Adopra la follìa
» Il flutto a rattener che spinge a morte. »

. . . .

» Ma incalza il vento per soffio divino:
» Forza è soffrir; forza è il travaglio, il pianto. ».

LII. Sia di te più destro ad atterrar nella lotta; ma non più sociabile, non più modesto, non meglio preparato agli accidenti,

τῶν πλησίον παροράματα.

νγ´. Ὅπου ἔργον ἐπιτελεῖσθαι δύναται κατὰ τὸν κοινὸν θεοῖς καὶ ἀνθρώποις λόγον, ἐκεῖ οὐδὲν δεινόν· ὅπου γὰρ ὠφελείας τυχεῖν ἔξεστι διὰ τῆς εὐοδούσης, καὶ κατὰ τὴν κατασκευὴν προϊούσης ἐνεργείας, ἐκεῖ οὐδεμίαν βλάβην ὑφορατέον.

νδ´. Πανταχοῦ καὶ διηνεκῶς ἐπὶ σοί ἐστι, καὶ τῇ παρούσῃ συμβάσει θεοσεβῶς εὐαρεστεῖν, καὶ τοῖς παροῦσιν ἀνθρώποις κατὰ δικαιοσύνην προσφέρεσθαι, καὶ τῇ οὔσῃ φαντασίᾳ ἐμφιλοτεχνεῖν, ἵνα μή τι ἀκατάληπτον παρεισρυῇ.

νέ. Μὴ περιβλέπου ἀλλότρια ἡγεμονικά, ἀλλ᾽ ἐκεῖ βλέπε κατ᾽ εὐθύ, ἐπὶ τί σε ἡ φύσις ὁδηγεῖ, ἥτε τοῦ ὅλου διὰ τῶν συμβαινόντων σοι, καὶ ἡ σή, διὰ τῶν πρακτέων ὑπὸ σοῦ.

non più indulgente verso il prossimo, allora che questo provoca allo sdegno.

LIII. Dove, col mezzo di quella ragione che agli dei è comune ed agli uomini, una opera si può condurre ad effetto, ivi nulla di pesante: poichè, dove trovar si può l'ajuto onde un' azione vada innanzi felicemente e secondo la di lei natura, quivi nulla è a sospettare di danno.

LIV. In qualunque luogo, in qualunque tempo, sta a te ed il rassegnarti con pietà agli accidenti del momento: e l'esser giusto verso gli uomini tuoi contemporanei: e l'esaminare con arte ciò che alla immaginazione tua si presenta; per evitar così che alcuna cosa abbia ad introdurvisi non da te conosciuta.

LV. Non guardare intorno a te quello che pensano gli altri; ma guarda direttamente colà dove la natura ti conduce: o sia la natura dell' universo, per gli accidenti che ti avvengono; o sia la tua particolare, per le azioni che da te dipendono.

Πρακτέον δὲ ἑκάστῳ τὸ ἑξῆς τῇ κατασκευῇ· κατεσκεύασται δὲ τὰ μὲν λοιπὰ τῶν λογικῶν ἕνεκεν, ὥσπερ καὶ ἐπὶ παντὸς ἄλλου, τὰ χείρω τῶν κρειττόνων ἕνεκεν.

Τὰ δὲ λογικὰ ἀλλήλων ἕνεκεν.

Τὸ μὲν οὖν προηγούμενον ἐν τῇ τοῦ ἀνθρώπου κατασκευῇ, τὸ κοινωνικόν ἐστι·

Δεύτερον δὲ, τὸ ἀνένδοτον πρὸς τὰς σωματικὰς πείσεις. λογικῆς γὰρ καὶ νοερᾶς κινήσεως ἴδιον περιορίζειν ἑαυτὴν, καὶ μήποτε ἡττᾶσθαι μήτε αἰσθητικῆς μήτε ὁρμητικῆς κινήσεως· ζωώδεις γὰρ ἑκάτεραι. ἡ δὲ νοερὰ ἐθέλει πρωτεύειν, καὶ μὴ κατακρατεῖσθαι ὑπ᾽ ἐκείνων. δικαίως γε· πέφυκε γὰρ χρηστικὴ πᾶσιν ἐκείνοις.

Τρίτον ἐν τῇ λογικῇ κατασκευῇ τὸ ἀπρόπτωτον καὶ ἀνεξαπάτητον.

Τούτων οὖν ἐχόμενον τὸ ἡγεμονικὸν εὐθεῖα περαινέτω, καὶ ἔχει τὰ ἑαυτοῦ.

ιϛ΄. Ὡς ἀποτεθνηκότα δεῖ καὶ μέχρι νῦν βεβιωκότα, τὸ λοιπὸν ἐκ τοῦ περιόντος, ζῆ-

Le azioni di ciascuno debbono alla condizion sua corrispondere. Le altre cose sono per gli esseri ragionevoli come le cose peggiori verso le migliori.

Gli esseri ragionevoli sono fatti gli uni per gli altri.

Primo attributo adunque della natura umana, la socialità.

Secondo. Il resistere alle inclinazioni del corpo. Propio è della facoltà che pensa e che ragiona sè in sè stessa raccogliere per non cedere agl' impeti dell' instinto: poichè sono da bruto. Ragione conservar vuole sua preminenza, vincer non si lascia da quelli: ed è giusto; poichè nata a servirsi di tutti loro.

Terzo. È nella natura ragionevole il non essere inconsiderata, il non lasciarsi ingannare.

Or, usando questi, la mente camminerà il diritto sentiere, e possederà ciò ch' è suo.

LVI. Come tu non avessi dovuto vivere che sin ora, e fossi già morto, il tempo che

σαι κατὰ τὴν φύσιν.

νζ΄. Μόνον φιλεῖν τὸ ἑαυτῷ συμβαῖνον καὶ συγκλωθόμενον. τί γὰρ ἁρμοδιώτερον;

νη΄. Ἐφ᾽ ἑκάστου συμβάματος ἐκείνους πρὸ ὀμμάτων ἔχειν, οἷς τὰ αὐτὰ συνέβαινεν· εἶτα ἤχθοντο, ἐξενίοντο, ἐμέμφοντο. νῦν οὖν ἐκεῖνοι ποῦ; οὐδαμοῦ· τί οὖν καὶ σὺ θέλεις ὁμοίως; οὐχὶ δὲ τὰς μὲν ἀλλοτρίας τροπὰς καταλιπεῖν τοῖς τρέπουσι καὶ τρεπομένοις; αὐτὸς δὲ περὶ τὸ πῶς χρῆσθαι αὐτοῖς ὅλος γίνεσθαι; χρήσῃ γὰρ καλῶς· καὶ ὕλη σου ἔσται· μόνον πρόσεχε, καὶ θέλε σεαυτῷ καλὸς εἶναι ἐπὶ παντὸς οὗ πράσσεις. καὶ μέμνησο ἀμφοτέρων, ὅτι καὶ διάφορον ἐφ᾽ οὗ ἡ πρᾶξις.

νθ΄. Ἔνδον βλέπε· ἔνδον ἡ πηγὴ τοῦ ἀγαθοῦ, καὶ ἀεὶ ἀναβλύειν δυναμένη, ἐὰν ἀεὶ σκάπτῃς.

ξ΄. Δεῖ καὶ τὸ σῶμα πεπηγέναι, καὶ μὴ

ti resta vivi almeno secondo la natura.

LVII. Ama solo quel che ti avviene, ed è unito al tuo destino. Che di più conveniente?

LVIII. In ogni accidente avere innanzi agli occhi quei che corsero vicende simili, e le soffrirono con impazienza, le trovarono straordinarie, sen dolsero. Dove sono essi ora? In nessun luogo. E perchè vuoi tu lor somigliare? Ma non sarebbe meglio queste abitudini a te straniere lasciar a coloro che commuovono, e commuovonsi, e tu dare tutta la riflessione al come di tali accidenti abbi a servirti? Poichè ne userai bene, e materia saranno essi a te di esercizio. In ogni opera solo tua volontà, tuo oggetto sia l'esser buono. D'altronde, nell'un modo e nell'altro, ricorda il suggetto della operazione essere indifferente.

LIX. Guarda nel tuo interno. La sorgente del tuo bene sta dentro di te; perenne sorgente, se di continuo la scavi.

LX. È d'uopo la situazione del corpo sia

διεῤῥίφθαι, μήτε ἐν κινήσει, μήτε ἐν σχέσει. οἷον γάρ τι ἐπὶ τοῦ προσώπου παρέχεται ἡ διάνοια συνετὸν αὐτὸ καὶ εὔσχημον συντηροῦσα, τοιοῦτο καὶ ἐπὶ ὅλου τοῦ σώματος ἀπαιτητέον. πάντα δὲ ταῦτα σὺν τῷ ἀνεπιτηδεύτῳ φυλακτέα.

ξά. Ἡ βιωτικὴ τῇ παλαιστικῇ, ὁμοιοτέρα ἤπερ τῇ ὀρχηστικῇ, κατὰ τὸ πρὸς τὰ ἐμπίπτοντα καὶ οὐ προεγνωσμένα, ἕτοιμος καὶ ἀπτὼς ἑστάναι.

ξβ'. Συνεχῶς ἐφιστάναι, τίνες εἰσὶν οὗτοι ὑφ' ὧν μαρτυρεῖσθαι θέλεις, καὶ τίνα ἡγεμονικὰ ἔχουσιν. οὔτε γὰρ μέμψῃ τοῖς ἀκουσίως πταίουσιν, οὔτε ἐπιμαρτυρήσεως δεήσῃ, εἰ βλέπων εἰς τὰς πηγὰς τῆς ὑπολήψεως καὶ ὁρμῆς αὐτῶν.

ξγ'. Πᾶσα ψυχὴ ἄκουσα, φησίν, στέρεται ἀληθείας. οὕτως οὖν καὶ δικαιοσύνης, καὶ σωφροσύνης, καὶ εὐμενείας, καὶ παντὸς τοῦ τοιούτου. ἀναγκαιότατον δὲ τὸ διηνεκῶς τούτου μεμνῆσθαι. ἔσῃ γὰρ πρὸς πάντας πρᾳότερος.

composta, e senza contorcimenti, tanto nel camminare, che nell' arrestarti: poichè quel contegno che un' anima decente e raccolta mostra sul volto dee ripetersi pel corpo tutto. Ma tutto ciò senza affettazione si osservi.

LXI. L' arte del vivere somiglia più all' arte della lotta, che all' arte della danza; in quanto che fa d' uopo stare apparecchiato a sostener fermo gli accidenti non preveduti.

LXII. Considera di continuo quali esser coloro la cui approvazion tu desideri, e quale mente essi avere: poichè, osservando le sorgenti delle lor opinioni e de' lor desiderii, nè d' involontarie mancanze gli accuserai, nè da loro richiederai approvazione.

LXIII. » Ogni anima, disse Platone [21], non è che a mal grado privata della verità » : e così, per conseguente, della giustizia, della temperanza, della benignità, di ogni altra virtù a queste simile. È necessario ricordarlo sempre. Così sarai indulgente con tutti.

ξδ'. Επὶ μὲν παντὸς πόνυ πρόχειρον ἔςω, ὅτι ὐκ αἰσχρὸν, ὐδὲ τὴν διάνοιαν τὴν κυβερνῶσαν χείρω ποιεῖ. ὔτε γὰρ καθὸ ὑλική [22] ἐςιν, ὔτε καθὸ κοινωνικὴ, διαφθείρει αὐτήν.

Ἐπὶ μὲν τοι τῶν βλείςων πόνων, καὶ τὸ τῦ Επικύρυ σοι βοηθείτω, ὅτι ὔτε ἀφόρητον, ὔτε αἰώνιον, ἐαν τῶν ὅρων μνημονεύῃς, κ̀ μὴ προςδοξάζῃς.

Κἀκείνυ δὲ μέμνησο, ὅτι πολλὰ πόνῳ τὰ αὐτὰ ὄντα, λανθάνει δυςχεραινόμενα, οἷον τὸ νυςάζειν, κ̀ τὸ καυματίζεσθαι, κ̀ τὸ ἀνορεκτεῖν· ὅταν ὖν τινι τύτων δυςαρεςῇς, λέγε ἑαυτῷ, ὅτι πόνῳ ἐνδίδως.

ξέ. Ὅρα, μήποτε τοιῦτον πάθῃς πρὸς τὺς ἀπανθρώπυς, οἷον οἱ ἄνθρωποι πρὸς τὺς ἀνθρώπυς.

ξς'. Πόθεν ἴσμεν, εἰ Τηλαύγυς [24] Σωκράτης, τὴν διάθεσιν κρείσσων ἦν· ὐ γὰρ ἀρκεῖ, εἰ Σωκράτης ἐνδοξότερον ἀπέθανεν, καὶ

LXIV. In ogni dolore sii tu pronto a riflettere quello non esser cosa turpe, nè l' intelligenza regolatrice deteriorare : mentre di questa non altera la sostanza , non le qualità sociali.

In moltissimi dolori sieti di soccorso quel detto di Epicuro , non essere nè intollerabili, nè eterni , se di lasciarli ti sovverrà ne' lor confini , e la immaginazione non vi aggiugnerai .

Ricorda questo eziandio . Molte cose , che tengonsi quasi dolori , c' incomodano internamente , come la sonnolenza , l' aver molto caldo , la nausea . Or , quando alcuna di esse ti molesta , dì a te stesso che tu cedi al dolore 23 .

LXV. Guardati di aver talora per gl' inumani i sentimenti medesimi ch' essi hanno per gli altri uomini .

LXVI. Onde sappiam noi Socrate indole aver avuta migliore che Telaugete ? Mentre non basta sia egli morto con più gloria ; nè

ἐντρεχέστερον τοῖς σοφισταῖς διελέγετο, καὶ καρτερικώτερον ἐν τῷ πάγῳ διενυκτέρευεν, καὶ τὸν Σαλαμίνιον κελευσθεὶς ἄγειν, γενναιότερον ἔδοξεν ἀντιβῆναι, καὶ ἐν ταῖς ὁδοῖς ἐβρενθύετο· περὶ οὗ καὶ μάλιστ' ἄν τις ἐπιστήσειεν, εἴπερ ἀληθὲς ἦν· ἀλλ' ἐκεῖνο δεῖ σκοπεῖν, ποίαν τινὰ τὴν ψυχὴν εἶχε Σωκράτης, καὶ εἰ ἐδύνατο ἀρκεῖσθαι τῷ δίκαιος εἶναι τὰ πρὸς ἀνθρώπους, καὶ ὅσιος τὰ πρὸς θεούς, μήτε εἰκῇ πρὸς τὴν κακίαν ἀγανακτῶν, μηδὲ μὴν δουλεύων τινὸς ἀγνοίᾳ μήτε τῶν ἀπονεμομένων ἐκ τοῦ ὅλου ὡς ξένον τι δεχόμενος, ἢ ὡς ἀφόρητον ὑπομένων, μήτε τοῖς τοῦ σαρκιδίου πάθεσιν ἐμπαρέχων συμπαθῆ τὸν νοῦν.

ξζ'. Ἡ φύσις οὐχ οὕτως συνεκέρασε τῷ συγκρίματι, ὡς μὴ ἐφεῖσθαι περιορίζειν ἑαυτόν, καὶ τὰ ἑαυτοῦ ὑφ' ἑαυτῷ ποιεῖσθαι.

Λίαν γὰρ ἐνδέχεται θεῖον ἄνδρα γενέσθαι, καὶ ὑπὸ μηδενὸς γνωρισθῆναι· τούτου

che maggiori sottigliezze dicesse nel disputar co' sofisti; nè che sul ghiaccio più sofferentemente pernottasse; nè che, al precetto di condurre quel salaminio [25], pieno di coraggio si mostrasse repugnante, andandone poi superbo per le strade (sebbene della verità di ciò è assai a dubitare). Ma considerar bisogna quale anima avesse Socrate, se per lui era sufficiente esser giusto con gli uomini, e pio verso gl' iddii; senza sdegnarsi invano contra la malvagità, o servilmente secondare la ignoranza di alcuno; senza ricevere come straniero verun accidente a lui assegnato dall' ordine universale, o soffrirlo giudicandolo insopportabile; senza piegar l'animo alle passioni di un ignobile corpo.

LXVII. Natura non mescolò tanto il fisico ed il morale, che tu non possa in te stesso raccoglierti, non attendere a te stesso, non sottoporre a te le tue azioni.

Un uomo può facilmente esser divino e da alcuno intanto non esser conosciuto. Que-

μέμνησο ἀεί. καὶ ἔτι ἐκείνου, ὅτι ἐν ὀλιγίστοις κεῖται τὸ εὐδαιμόνως βιῶσαι. καὶ μὴ ὅτι ἀπήλπισας διαλεκτικὸς καὶ φυσικὸς ἔσεσθαι, διὰ τοῦτο ἀπογνῷς καὶ ἐλεύθερος, καὶ αἰδήμων, καὶ κοινωνικὸς, καὶ εὐπειθὴς Θεῷ.

ξή. Ἀβιάστως διαζῆσαι ἐν πλείστῃ θυμηδίᾳ, κἂν πάντες καταβοῶσιν, ἅπαντα βούλωνται, κἂν τὰ θηρία διασπᾷ τὰ μελύδρια τοῦ περιτεθραμμένου τούτου φυράματος. τί γὰρ κωλύει ἐν πᾶσι τούτοις τὴν διάνοιαν σώζειν ἑαυτὴν ἐν γαλήνῃ, καὶ κρίσει περὶ τῶν περιεστηκότων ἀληθεῖ, καὶ χρήσει τῶν ὑποβεβλημένων ἑτοίμῃ; ὥστε τὴν μὲν κρίσιν λέγειν τῷ προσπίπτοντι, τοῦτο ὑπάρχεις κατ' οὐσίαν, κἂν κατὰ δόξαν ἀλλοῖον φάνῃ. τὴν δὲ χρῆσιν λέγειν τῷ ὑποπίπτοντι, σὲ ἐζήτουν. ἀεὶ γάρ μοι τὸ παρὸν, ὕλη ἀρετῆς λογικῆς καὶ πολιτικῆς, καὶ τὸ σύνολον τέχνης ἀνθρώπου ἢ θεοῦ. πᾶν γὰρ τὸ συμβαῖνον, θεῷ ἢ ἀνθρώπῳ ἐξοικειοῦται, καὶ οὔτε καινὸν, οὔτε δυσμεταχείριστον, ἀλλὰ γνώριμ-

sto sempre ricorda; ed inoltre, che il viver felice consiste in pochissime cose. Nè perchè abbi perduta la speranza di divenire dialettico, o fisico, te stimerai rigettato dal poter esser libero, modesto, sociabile, riverente con Dio.

LXVIII. Tu potrai liberamente vivere nella maggior soddisfazione, ancorchè tutti a lor voglia schiamazzando te insultino, ancorchè le membra di questa massa di fango, che ti circonda, sieno lacerate dalle belve. Mentre, in qualunque di sì fatti casi, che mai impedisce alla mente di conservarsi tranquilla; di giudicar la verità degli oggetti circostanti? di valersi senza indugio di quello che si presenta? ed in modo tale che il giudizio dica all' accidente, tu in sostanza sei questo, sebbene la opinione altro ti faccia apparire; e l' uso dicagli rassegnato, io te cercava? Quanto si presenta è sempre materia all' esercizio della virtù ragionevole e civile; anzi all' arte dell' uomo, o di Dio [26]: poi-

μον ϰ εὐεργές.

ξθ'. Τοῦτο ἔχει ἡ τελειότης τοῦ ἤθους, τὸ πᾶσαν ἡμέραν ὡς τελευταίαν διεξάγειν, ϰ μήτε σφύζειν, μήτε ναρκᾶν, μήτε ὑποκρίνεσθαι.

ό. Οἱ θεοὶ ἀθάνατοι ὄντες, οὐ δυσχεραίνουσιν, ὅτι ἐν τοσούτῳ αἰῶνι δεήσει αὐτοὺς πάντως ἀεὶ τοιούτων ὄντων ϰ τοσούτων φαύλων ἀνέχεσθαι· προσέτι δὲ καὶ κήδονται αὐτῶν παντοίως. σὺ δὲ ὅσον οὐδέπω λήγειν μέλλων, ἀπαυδᾷς; καὶ ταῦτα, εἷς ὢν τῶν φαύλων;

οά. Γελοῖόν ἐστι τὴν μὲν ἰδίαν κακίαν μὴ φεύγειν, ὃ καὶ δυνατόν ἐστι. τὴν δὲ τῶν ἄλλων φεύγειν, ὅπερ ἀδύνατον.

οβ'. Ο ἂν ἡ λογικὴ καὶ πολιτικὴ δύναμις εὑρίσκῃ μήτε νοερὸν, μήτε κοινωνικὸν, εὐλόγως καταδεέστερον ἑαυτῆς κρίνει.

chè ogni avvenimento a Dio si conviene, ed all'uomo. Nulla di nuovo, nulla di difficile a trattare; ma bensì tutto conosciuto e maneggevole.

LXIX. La perfezion de' costumi consiste a passare ogni giorno come se fosse l'ultimo; senza affrettarsi, senza esser lento, senza dissimulare.

LXX. Gl' iddii che sono immortali non isdegnano dovere per la immensità dei secoli tollerar senza interruzione tali e tanti malvagi; anzi prendono di essi ogni cura. E tu che stai già per finire, tu alla sofferenza renuncii? E questo, malgrado che uno de' malvagi tu sii?

LXXI. È ridicolo tu, mentre il puoi, la propia perversità non fuggire, e fuggir l'altrui: ciò che ti è impossibile.

LXXII. Tutto ciò che la facoltà ragionevole e civile trova senza intelligenza, e senza instinto sociale, ella reputa giustamente a se inferiore.

ογ'. Οταν σὺ εὖ πεποιηκὼς ἦς, καὶ ἄλλος εὖ πεπονθὼς, τί ἔτι ζητεῖς τρίτον παρὰ ταῦτα, ὥσπερ οἱ μωροὶ, τὸ καὶ δόξαι εὖ πεποιηκέναι, ἢ τὸ ἀμοιβῆς τυχεῖν;

οδ'. Οὐδεὶς κάμνει ὠφελούμενος. ὠφέλεια δὲ πρᾶξις κατὰ φύσιν. μὴ οὖν κάμνε ὠφελούμενος, ἐν ᾧ ὠφελεῖς.

οε'. Η τοῦ ὅλου φύσις ἐπὶ τὴν κοσμοποιΐαν ὥρμησεν· νῦν δὲ ἤτοι πᾶν τὸ γινόμενον κατ' ἐπακολούθησιν γίνεται, ἢ ἀλόγιστα καὶ τὰ κυριώτατά ἐστιν, ἐφ' ἃ ποιεῖται ἰδίαν ὁρμὴν τὸ τοῦ κόσμου ἡγεμονικόν. εἰς πολλά σε γαληνότερον ποιήσει, τοῦτο μνημονευόμενον.

LXXIII. Quando tu hai beneficato, ed un altro sentito ha il benefizio, perchè, oltre queste, cercar da folle una terza cosa: la reputazione di uomo benefico, o il contraccambio?

LXXIV. Niuno stancasi di ricever giovamento: fare il propio utile è secondo natura. Dunque non istancarti di giovare altrui, mentre nel beneficar te benefichi.

LXXV. La natura dell' universo per propio istinto formò il mondo. Quindi quanto si fa conseguenza è di quello. In contrario prodotte si direbbero senza una ragione anche le creature precipue, per le quali il reggitore del mondo ha inclinazione particolare. Ricordando questo, te in molte circostanze renderai più tranquillo.

NOTE

AL

LIBRO SETTIMO

DE' RICORDI

DI

MARCO AURELIO ANTONINO

NOTE

AL LIBRO SETTIMO.

(1) Σωμάτιον, *corpicciuolo*, *cadavere*. Marco Aurelio talvolta i diminutivi usa come peggiorativi. Poco appresso si legge ψυχάριον, *animuccia*, nel senso di *mente*. Questa voce però sembrami adottata a fine di esprimere, non ignobilità, ma bensì picciolezza dell' ἡγεμονικὸν relativamente alla immensità della ragione universale. Gli stoici studiavano di continuo a staccarsi dagl' incanti della vita, e dalle tentazioni dell' orgoglio.

(2) Abitudine principale di Marco Aurelio era il compatir gli uomini.

(3) *Divide subjectum in materiam et formam*, versione dello Csilandro. *Formam seu caussam*, interpretazione del Casaubono alla voce αἰτιῶδες. Dicevano gli stoici che tutto in natura è composto di *materia* e di *causa*: la materia esser pronta a ricevere attività, ma in se essere inerte; la causa dare forma alla materia, e questa rendere attiva; tal causa essere la suprema intelligenza. *Universa ex materia et ex Deo constant*. Seneca, epist. 64. La presente nota serva per tutt' i luoghi dell' opera ne' quali è la voce αἰτιῶδες tradotta.

(4) Cioè *uniformati alle cose stabilite da Dio*, *tutto conseguenza essendo delle sue leggi invariabili*.

(5) Tratta dal libro VI della Repubblica.

(6) V. Epitteto in Arriano, lib. IV, cap. 6.

(7) *e che questa talora*

(8) Di Euripide, nel Bellerofonte.

(9) Di autore non conosciuto.

(10) Di Euripide, nella Issipile. Versione del Gatak.

Spicas velut frugiferas, sic vitam meti:
Ut hic sit, ille non sit.

La vie des hommes est comme la moisson d'un champ; pendant qu'on moissonne les épis qui sont mûrs, les autres mûrissent, del Dacier. *La vie est moissonnée comme des épis dont les uns sont mûrs, et les autres verts*, del Joly.

(11) D'incerto autore.

(12) Di Aristofane, negli Acarnani. Luogo che passò in proverbio.

(13) Plat. *Apolog. Socrat.*

(14) Plat. *Apolog. Socrat.*

(15) Plat. *Gorgia.*

(16) De Pythagore, Joly. Platone si valse molto delle dottrine e delle sentenze di Pitagora.

(17) Di Euripide, nel Crisippo.

C'est ce que Salomon avoit dit dans l'Ecclésiaste: *Redditque pulvis ad terram quod prius fuerat, spiritus autem ad Deum qui primo dederat.* Dacier.

(18) Di Euripide, nelle Supplici.

(19) *Haec alienda sunt.* Gatak.

(20) Quid si ἀνοδύρτοις, *minime flendis*, aut lugendis, verterimus? possit enim etiam oboriri suspicio scripsisse Xylandrum carentibus non calentibus; ut sit κάματοι ἀνόδυρτοι, *labores*, si cum Flacco loquamur, *illacrymabiles*; sive qui *lugendi non sint*; sed sive

me alaeriterque perferendi. Gatak. Quindi il Joly *il faut céder. Leur peine ne mérite pas nos larmes.*

(21) Plat. *in Sophist.*

Nemo vult falli, proverbio.

(22) 'Τλικῇ. Casaubono crede abbia a scriversi λιγικῇ.

(23) » Il y a une raillerie cachée sous ces mots. C' est comme si Antonin disoit *ne manque pas de dire, se succombe au jugement de mon opinion.* Car il prétend qu' il n' y a personne qui n' eût honte de prononcer une parole si lâche, et si efféminée. » Dacier.

(24) Τηλαύγης. Ne' manoscritti si legge τηλαύγης Σωκράτης, καὶ διαθεσιν ec. che Barberini, seguendo la versione dello Csilandro, tradusse *illustre*, e che io tradurrei *eccellente*. Menagio però, nelle sue note a Diogene Laerzio, ha corretto Τηλαύγης, Telaugete, nome propio di filosofo. Telaugete figlio dicono di Pitagora, e maestro di Empedocle. Fu il primo che scrivesse sulle dottrine pitagoriche in una opera intitolata *de Tetrade*. È opinione che dagli scritti di Telaugete Platone avesse tratta la materia della sua opera *de Natura Mundi*.

(25) I trenta tiranni, avidi delle ricchezze di un Leone da Salamina, risolsero farlo morire. Quindi a Socrate e ad altri ateniesi fu ordinato recarsi ad arrestarlo. Socrate ricusò di ubbidire.

(26) V. lib. III, § 13. » Antonin veut faire entendre que l' exercice de la vertu est, si l' on peut se servir de ce terme, le métier commun à Dieu et aux hommes, comme il s' en est expliqué ailleurs. » Dacier.

DE'

RICORDI

DI

MARCO AURELIO ANTONINO

TRADOTTI

LIB. VIII.

. . . nisi ad illa tempora natus esset, profecto, quasi uno lapsu ruissent omnia status romani.

A. Victor *in Breviar.*

ΜΑΡΚΟΥ ΑΥΡΗΛΙΟΥ ΑΝΤΩΝΙΝΟΥ

ΤΩΝ ΕΙΣ ΕΑΥΤΟΝ

ΒΙΒΛΙΟΝ Η'.

α'. Καὶ τοῦτο πρὸς τὸ ἀκενόδοξον φέρει, ὅτι οὐκ ἔτι δύνασαι τὸν βίον ὅλον, ἢ τόν γε ἀπὸ νεότητος φιλόσοφον βεβιωκέναι· ἀλλὰ πολλοῖς τε ἄλλοις, καὶ αὐτὸς σεαυτῷ δῆλος γέγονας, πόῤῥω φιλοσοφίας ὤν. πέφυρσαι οὖν· ὥστε τὴν μὲν δόξαν τὴν τοῦ φιλοσόφου κτήσασθαι, οὐκέτι σοι ῥᾴδιον· ἀνταγωνίζεται δὲ καὶ ἡ ὑπόθεσις· εἴπερ οὖν ἀληθῶς ἑώρακας, ποῦ κεῖται τὸ πρᾶγμα, τὸ μὲν, τί δόξεις, ἄφες· ἀρκέσθητι δὲ, εἰ κἂν τὸ λοιπὸν τοῦ βίου, ὅσον δήποτε ἡ σὴ φύσις θέλει βιώσειν. κατανόησον οὖν, τί θέλει, καὶ ἄλλο μηδὲν περισπάτω.

DI MARCO AURELIO ANTONINO

RICORDI

Libro Ottavo

1. Questo anche a tor la vanagloria conduce. Non è più in tuo potere per tutta la vita, o almeno dalla gioventù, aver praticata la filosofia. Molti conoscono, tu stesso ti avvedi che ne sei ben lontano. Ed eccoti confuso; poichè ora non ti è facile reputazione acquistar di filosofo: la tua profession vi si oppone. Quindi, se penetrasti veramente lo stato della cosa, omessa la gloria, contentati il resto de' tuoi giorni menare secondo la volontà della natura. Quindi considera ciò ch'ella voglia; nè altro ti distragga.

Πεπείρασαι γὰρ περὶ πόσα πλανηθεὶς, οὐδαμοῦ εὗρες τὸ εὖ ζῆν· οὐκ ἐν συλλογισμοῖς, οὐκ ἐν πλούτῳ, οὐκ ἐν δόξῃ, οὐκ ἐν ἀπολαύσει, οὐδαμοῦ. ποῦ οὖν ἐστιν; ἐν τῷ ποιεῖν, ἃ ἐπιζητεῖ ἡ τοῦ ἀνθρώπου φύσις· πῶς οὖν ταῦτα ποιήσει; ἐπὰν δόγματα ἔχῃ, ἀφ' ὧν αἱ ὁρμαὶ καὶ αἱ πράξεις. τίνα δόγματα; τὰ περὶ ἀγαθῶν, καὶ κακῶν· ὡς οὐδενὸς μὲν ἀγαθοῦ ὄντος ἀνθρώπῳ, ὃ οὐχὶ ποιεῖ δίκαιον, σώφρονα, ἀνδρεῖον, ἐλεύθερον, οὐδενὸς δὲ κακοῦ, ὃ οὐχὶ ποιεῖ τἀναντία τοῖς εἰρημένοις.

β'. Καθ' ἑκάστην πρᾶξιν ἐρώτα σεαυτὸν, πῶς μοι αὕτη ἔχει; μὴ μετανοήσω ἐπ' αὐτῇ; μικρὸν καὶ τέθνηκα, καὶ πάντ' ἐκ μέσου. τί πλέον ἐπιζητῶ, εἰ τὸ παρὸν ἔργον ζώου νοεροῦ, καὶ κοινωνικοῦ καὶ ἰσονόμου Θεῷ.

γ'. Ἀλέξανδρος δὲ καὶ Γάϊος, καὶ Πόμ-

Tu sai dalla sperienza che, dopo di aver vagato per tanti oggetti, non hai in alcun luogo ritrovato il viver contento. Non ne' sillogismi, non nelle ricchezze, non nella gloria, non nella voluttà, in verun luogo. Dove sarà dunque? — Nell' operar ciò che la natura umana richiede — Ma come poterlo operare? — Se avrai le massime che regolar debbono i desiderii e le azioni — E codeste massime quali sono? — Quelle a' beni ed a' mali relative, come nulla essere bene all' uomo, che non giusto il renda, temperante, forte, libero; e nulla male, se non quello ch' effetti produce contrarii.

II. In ogni azione interroga così te stesso: Mi è questa conveniente? Non avrò a pentirmene? Tra poco io sarò morto, e tutto sarà svanito. Che mai cerco di più, se non operare al presente come deve animal dotato d' intelligenza, di socialità, e suggetto con Dio ad una medesima legge? [1]

III. Alessandro, Caio, Pompeo che mai di

πήϊος τί πρὸς Διογένη, ϗ Ἡράκλειτον, ϗ Σωκράτην; οἱ μὲν γὰρ εἶδον τὰ πράγματα ϗ τὰς αἰτίας, ϗ τὰς ὕλας; ϗ τὰ ἡγεμονικά ἦν αὐτῶν ταὐτά· ἐκεῖ δὲ ὅσων πρόνοια; ϗ δουλεία πόσων;

δ'. Ὅτι οὐδὲν ἧττον τὰ αὐτὰ ποιήσουσι, κἂν σὺ διαῤῥαγῇς.

ε'. Τὸ πρῶτον μὴ ταράσσου· πάντα γὰρ κατὰ τὴν τοῦ ὅλου φύσιν· ϗ ὀλίγου χρόνου οὐδεὶς οὐδαμοῦ ἔσῃ· ὥσπερ οὐδὲ Ἀδριανός, οὐδὲ Αὔγουστος.

Ἔπειτα ἀτενίσας εἰς τὸ πρᾶγμα, ἴδε αὐτὸ ϗ συμμνημονεύσας, ὅτι ἀγαθόν σε ἄνθρωπον εἶναι δεῖ, ϗ τί τοῦ ἀνθρώπου ἡ φύσις ἀπαιτεῖ, πρᾶξον τοῦτο ἀμεταστρεπτί· ϗ εἰπέ, ὡς δικαιότατον φαίνεταί σοι μόνον εὐμενῶς, ϗ αἰδημόνως, ϗ ἀνυποκρίτως.

ϛ'. Ἡ τῶν ὅλων φύσις τοῦτο ἔργον ἔχει, τὰ ὧδε ὄντα ἐκεῖ μετατιθέναι, μεταβάλλειν, αἴρειν ἔνθεν ϗ ἐκεῖ φέρειν. πάντα τροπαί.

paragone di Diogene, di Eraclito, di Socrate? [2] Questi vedevano le cose, le cagioni, la materia, e l'anima loro era sempre nella stessa quiete. Ma quante cure agitavano quelli, quante servitù!

IV. Avessi tu a creparne, faranno nulladimeno lo stesso.

V. Primamente non turbarti; poichè tutte le cose avvengono secondo la natura dell'universo, e tra poco tempo tu sarai nulla, non istarai più in verun luogo, come già di Adriano e di Augusto.

Indi fissati sull'oggetto; il considera; ricorda dover tu essere uomo probo; ricorda quello che la natura umana richiede, e lo pratica immutabilmente; parla nel modo che ti sembra il più conforme alla giustizia, ma con placidezza, con modestia, senza ipocrisia [3].

VI. Della universal natura ecco l'oprare. Le cose che qui sono trasferir colà; cambiarle; toglierle quindi, e portarle in altro luogo.

οὐχ ὥστε φοβηθῆναι, μήτι καινόν· πάντα συνήθη· ἀλλὰ καὶ ἴσαι αἱ ἀπονεμήσεις.

ζ. Ἀρκεῖται πᾶσα φύσις ἑαυτῇ εὐοδούσῃ· φύσις δὲ λογικὴ εὐοδεῖ, ἐν μὲν φαντασίαις, μήτε ψευδεῖ, μήτε ἀδήλῳ συγκατατιθεμένη· τὰς ὁρμὰς δὲ ἐπὶ τὰ κοινωνικὰ ἔργα μόνα ἀπευθύνουσα· τὰς ὀρέξεις δὲ καὶ ἐγκλίσεις τῶν ἐφ' ἡμῖν μόνον πεποιημένη· τὸ δὲ ὑπὸ τῆς κοινῆς φύσεως ἀπονεμόμενον πᾶν ἀσπαζομένη. μέρος γὰρ αὐτῆς ἐστιν· ὡς ἡ τοῦ φύλλου φύσις τῆς τοῦ φυτοῦ φύσεως, πλὴν ὅτι ἐκεῖ μὲν ἡ τοῦ φύλλου φύσις μέρος ἐστὶ φύσεως, καὶ ἀναισθήτου, καὶ ἀλόγου, καὶ ἐμποδίζεσθαι δυναμένης. ἡ δὲ τοῦ ἀνθρώπου φύσις, μέρος ἐστὶ ἀνεμποδίστου φύσεως καὶ νοερᾶς καὶ δικαίας· εἴγε ἴσους καὶ κατ' ἀξίαν τοὺς μερισμοὺς χρόνων, οὐσίας, αἰτίου, ἐνεργείας, συμβάσεως, ἑκάστοις ποιεῖται· σκόπει δὲ, μὴ εἰ τὸ πρὸς τὸ ἓν ἴσον εὑρήσεις ἐπὶ παντὸς, ἀλλὰ εἰ συλλήβδην τὰ πάντα τοῦδε, πρὸς ἀθρόα τὰ τοῦ ἑτέρου.

Tutto è mutazione: non tale però che a temer s' abbia novità. Tutto è solito; e, di più, si distribuisce con leggi uguali.

VII. Ogni natura di se stessa è soddisfatta se va felicemente pel suo cammino. La natura ragionevole va felicemente pel suo cammino allora che con le meditazioni non al falso, non all' incerto acconsente; e le brame indirizza solo verso le opere utili alla società; e i desiderii e le avversioni solo alle cose riduce da noi dipendenti; e riceve di buona voglia quanto dalla comune natura è a lei assegnato. Poichè parte è di questa, come la natura di una foglia parte è della natura di una pianta: se non che la natura della foglia è parte di una natura senza sentimento, senza ragione, suggetta ad ostacoli, e la natura dell' uomo è parte di una natura libera, intelligente, giusta. Questa distribuisce con uguaglianza a ciascun essere, secondo il luogo che ha nel mondo, e tempo, e materia, e cagione, e facoltà, e legame col

ή. Ἀναγινώσκειν οὐκ ἔξεστιν. ἀλλὰ ὕβριν ἀνείργειν ἔξεστιν. ἀλλὰ ἡδονῶν καὶ πόνων καθυπερτερεῖν ἔξεστιν. ἀλλὰ τοῦ δοξαρίου ὑπεράνω εἶναι ἔξεστιν· ἀλλὰ ἀναισθήτοις καὶ ἀχαρίστοις, μὴ θυμοῦσθαι, προσέτι κήδεσθαι αὐτῶν ἔξεστιν.

θ'. Μηκέτι σου μηδεὶς ἀκούσῃ καταμεμφομένου τὸν ἐν αὐλῇ βίον, μηδὲ τὸν σεαυτοῦ.

ί. Ἡ μετάνοιά ἐστιν ἐπίληψίς τις ἑαυτοῦ, ὡς χρήσιμόν τι παρεικότος· τὸ δὲ ἀγαθὸν χρήσιμόν τι δεῖ εἶναι, καὶ ἐπιμελητέον αὐτοῦ τῷ ἀγαθῷ καὶ καλῷ ἀνδρί· οὐδεὶς δ' ἂν καλὸς καὶ ἀγαθὸς ἀνὴρ μετανοήσειεν, ἐπὶ τῷ ἡδονήν τινα παρεικέναι· οὔτε ἄρα χρήσιμον, οὔτε ἀγαθὸν ἡδονή.

ιά. Τοῦτο τί ἐστιν αὐτὸ καθ' ἑαυτὸ τῇ ἰδίᾳ κατασκευῇ; τί μὲν τὸ οὐσιῶδες αὐτοῦ

resto delle cose. Però si avverta che tale uguaglianza di distribuzione non ritroverai in tutti gli esseri, considerati ad uno ad uno; ma il complesso di una specie al complesso di un altra comparando.

viii. Tu non puoi più leggere. Ma puoi allontanare da te ciò che arrossir ti farebbe. Ma la voluttà puoi vincere, ed il dolore. Ma superiore puoi essere alla vanità. Ma puoi contro gl' insensati, e gl' ingrati non adirarti: anzi aver puoi cura di loro.

ix. Non più alcuno oda tue doglianze sulla vita della corte, e sulla tua.

x. Il pentimento è come un rimprovero a se stesso di aver negletto alcun utile. Il bene esser deve utile, cura dell' uomo virtuoso ed onesto. Ma nessun uomo onesto e virtuoso è pentito di aver trascurata alcuna voluttà. Dunque la voluttà non è utile, non buona.

xi. Questo, per propia costituzione, che cosa è in se stesso? Quale la sua sostanza,

καὶ ὑλικόν; τί δὲ τὸ αἰτιῶδες; τί δὲ ποιεῖ ἐν τῷ κόσμῳ; πόσον δὲ χρόνον ὑφίσαται;

ιβ΄. Ὅταν ἐξ ὕπνου δυσχερῶς ἐγείρῃ, ἀναμιμνήσκου, ὅτι κατὰ τὴν κατασκευήν σου ἐστὶ, καὶ κατὰ τὴν ἀνθρωπικὴν φύσιν, τὸ πράξεις κοινωνικὰς ἀποδιδόναι; τὸ δὲ καθεύδειν κοινὸν καὶ τῶν ἀλόγων ζώων· ὃ δὲ κατὰ φύσιν ἑκάστῳ, τοῦτο οἰκειότερον καὶ προσφυέστερον, καὶ δὴ καὶ προσηνέστερον.

ιγ΄. Διηνεκῶς καὶ ἐπὶ πάσης εἰ οἷόν τε φαντασίας, φυσιολογεῖν, παθολογεῖν, διαλεκτικεύεσθαι.

ιδ΄. Ὧ, ἂν ἐντυγχάνῃς, εὐθὺς σαυτῷ πρόλεγε· οὗτος τίνα δόγματα ἔχει περὶ ἀγαθῶν καὶ κακῶν; ἢ γὰρ περὶ ἡδονῆς καὶ πόνου, καὶ τῶν ποιητικῶν ἑκατέρου, καὶ περὶ δόξης, ἀδοξίας, θανάτου, ζωῆς τοιάδε τινὰ δόγματα ἔχειν, οὐδὲν θαυμαστὸν ἢ ξένον μοι δόξει, ἐὰν τὰ δέ τινα ποιῇ· καὶ μεμνήσομαι, ὅτι ἀναγκάζεται οὕτως ποιεῖν.

la sua materia? Quale la sua cagione? Che fà nel mondo? Quanto esisterà?

XII. Quando provi, nello svegliarti, molestia, ricorda essere attributo della costituzion tua, carattere della natura umana l'operare per la società; mentre il dormire hai comune co' bruti. Quello che in ciascuno è naturale deve riuscir più familiare, più adattato, e più soddisfacente.

XIII. Continuamente di tutto quello che si offre alla tua immaginazione esamina, per quanto puoi, la natura e 'l morale; e ne discorri.

XIV. In chiunque t' imbatti parla subito in questo modo a te stesso » quali sono i costui principii intorno a' beni, ed a' mali? » Imperocchè, se ha egli alcune opinioni sul piacere, e sul dolore, e sulle cagioni dell' uno e dell' altro, sulla gloria, sulla ignominia, sulla morte, e sulla vita, io non maraviglierommi, nè troverò strano che faccia alcune cose. Ricorderò anzi essere egli necessitato ad

ιε'. Μέμνησο, ὅτι ὥσπερ αἰσχρὸν ξενίζεσθαι, εἰ ἡ συκῆ σῦκα φέρει, οὕτως εἰ ὁ κόσμος τάδε τινὰ φέρει, ὧν ἐστι φορός· καὶ ἰατρῷ δὲ καὶ κυβερνήτῃ αἰσχρὸν ξενίζεσθαι, εἰ πεπύρεχεν οὗτος, ἢ εἰ ἀντίπνοια γέγονεν.

ιϛ'. Μέμνησο, ὅτι, καὶ τὸ μετατίθεσθαι καὶ ἕπεσθαι τῷ διορθοῦντι, ὁμοίως ἐλεύθερόν ἐστι. σὺ γὰρ ἐνέργεια κατὰ τὴν σὴν ὁρμὴν καὶ κρίσιν, καὶ δὴ καὶ κατὰ νοῦν τὸν σὸν περαινομένη.

ιζ'. Εἰ μὲν ἐπὶ σοί, τί αὐτὸ ποιεῖς; εἰ δὲ ἐπ' ἄλλῳ, τίνι μέμφῃ; τοῖς ἀτόμοις, ἢ τοῖς θεοῖς; ἀμφότερα μανιώδη. οὐδενὶ μεμπτέον. εἰ μὲν γὰρ δύνασαι, διόρθωσον· εἰ δὲ τοῦτο μὴ δύνασαι, τό γε πρᾶγμα αὐτό· εἰ δὲ τοῦτο μὴ δύνασαι, πρὸς τί ἔτι σοί φέρει τὸ μέμψασθαι; εἰκῇ γὰρ οὐδὲν

operare in quel modo.

xv. Rammenta che, come sarebbe sdicevole reputar cosa strana il fico produrre fichi, così è sdicevole trovare strano che il mondo produca gli avvenimenti de' quali è ferace. Ciò sarebbe come se il medico prendesse maraviglia che a taluno fosse la febbre sopravvenuta, o se de' venti contrarii prendesse maraviglia il pilota.

xvi. Ricorda che, tanto cambiando di avviso, quanto a chi ti corregge uniformandoti, tu resti egualmente libero: poichè l'azione è tua, e secondo la tua volontà, e 'l tuo giudizio, e secondo la mente tua si reca a fine.

xvii. Se da te dipende, perchè lo fai? Se da altri, di che ti quereli? Degli atomi, o de' numi? L' uno e l'altro sarebbe follia. Non è ad accusare alcuno. Se il puoi, correggi l'uomo; se non lo puoi, ripara almeno alla cosa: e se nè pur ciò sta in tuo potere, che giova dolerti? Nulla dee farsi

ποιητέον.

ιή. Ἔξω τȣ̃ κόσμȣ τὸ ἀποθανὸν ȣ̓ πίπτει. εἰ ὧδε μένει καὶ μεταβάλλει, ὧδε καὶ διαλύεται, εἰς τὰ ἴδια ἃ ϛοιχεῖά ἐϛι τȣ̃ κόσμȣ καὶ σά. καὶ αὐτὰ δὲ μεταβάλλει, καὶ ȣ̓ γογγύζει.

ιθ΄. Ἕκαϛον πρός τι γέγονεν, ἵππος, ἄμπελος. τί θαυμάζεις; καὶ ὁ ἥλιος ἐρεῖ, πρός τι ἔργον γέγονα, καὶ οἱ λοιποὶ θεοί. σὺ ȣ̓̃ν πρὸς τί; τὸ ἥδεσθαι; ἴδε εἰ ἀνέχεται ἡ ἔννοια.

κ΄. Ἡ φύσις ἐϛόχαϛαι ἑκάϛȣ, ȣ̓δέν τι ἔλασσον τῆς ἀπολήξεως, ἢ τῆς ἀρχῆς τε καὶ διεξαγωγῆς, ὡς ὁ ἀναβάλλων τὴν σφαῖραν· τί ȣ̓̃ν ἀγαθὸν τῷ σφαιρίῳ ἀναφερομένῳ, ἢ κακὸν καταφερομένῳ, ἢ καὶ πεπτωκότι; τί δὲ ἀγαθὸν τῇ πομφόλυγι συνεϛώσῃ, ἢ κακὸν διαλυθείσῃ; τὰ ὅμοια δὲ καὶ ἐπὶ λύχνȣ.

κά. Ἔκϛρεψον, καὶ θεάσαι οἷόν ἐϛι, γη-

invano.

XVIII. Ciò che muore non cade fuori del mondo; e, se quì resta e si muta, quì ne' propii componenti si scioglie, che sono ed elementi del mondo e di te. Or questi cambiano, e non si querelano.

XIX. Ciascuna cosa è nata per qualche fine: per esempio il cavallo, la vite. Di che hai maraviglia? Anche il sole dice, anche dicono gli altri numi, io nato sono per fare tale opera. E tu perchè sei nato? Per sollazzarti? Or vedi se il discernimento lo comporta.

XX. Natura non prendesi minor pensiero della fine, che del principio e del durar di ciascuno. Così colui che spinge in alto la palla. D'altronde qual bene per una palla allor ch' è spinta in alto, o qual male allor che scende, ed allora che cade? Qual bene ad una bolla d'acqua se si mantiene, e se si scioglie qual male? Lo stesso di una lucerna.

XXI. Arrovescia il corpo. Contempla qua-

ῥάσαι δὲ οἷον γίνεται, νοσήσαντα δὲ, πορνεύσαν.

Βραχύβιον δὲ καὶ ὁ ἐπαινῶν καὶ ὁ ἐπαινούμενος, καὶ ὁ μνημονεύων, καὶ ὁ μνημονευόμενος. προσέτι δὲ καὶ ἐν γωνίᾳ τούτου τοῦ κλίματος, καὶ οὐδὲ ἐνταῦθα πάντες συμφωνοῦσι, καὶ οὐδὲ αὐτός τις ἑαυτῷ· καὶ ὅλη δὲ ἡ γῆ στιγμή.

κβ'. Πρόσεχε τῷ ὑποκειμένῳ, ἢ τῷ δόγματι, ἢ τῇ ἐνεργείᾳ, ἢ τῷ σημαινομένῳ.

Δικαίως ταῦτα πάσχεις· μᾶλλον δὲ θέλεις ἀγαθὸς αὔριον γενέσθαι, ἢ σήμερον εἶναι.

κγ'. Πράσσω τι; πράσσω ἐπ' ἀνθρώπων εὐποιΐαν ἀναφέρων· συμβαίνει τι μοί; δέχομαι, ἐπὶ τοὺς θεοὺς ἀναφέρων, καὶ τὴν πάντων πηγήν, ἀφ' ἧς πάντα τὰ γινόμενα συμμηρύεται.

κδ'. Ὁποῖόν σοι φαίνεται τὸ λούεσθαι ἔλαιον, ἱδρὼς, ῥύπος, ὕδωρ, γλοιῶδες, πάντα σικχαντά. τοιοῦτον πᾶν μέρος τοῦ βίου,

le sia, e qual divenga per vecchiezza, per infermità, per incontinenza.

Brevissimo tempo durano e chi loda e chi è lodato, e chi è ricordato e chi ricorda. Inoltre ciò in un angolo avviene della terra: e non tutti quivi concordano insieme; anzi niuno con se medesimo: e la terra stessa un punto è nell' universo.

xxii. Penetra il suggetto: la volontà che'l produce, l' operazione che ne risulta, il significato.

A ragione tu soffri questi travagli; mentre, anzi che oggi, dimani esser vuoi buono.

xxiii. Fo alcuna cosa? La fo riferendola a beneficio degli uomini. Mi avviene alcun accidente? Lo ricevo riferendolo agli dei, ed al fonte di tutte le cose, dal quale quanto avviene è compartito.

xxiv. La funzione del lavarsi che ti sembra? Olio, sudor, sucidume, acqua, raschiatura: cose tutte disgustevoli. Tal è o-

gni vicenda della vita, e tutto quello che la costituisce.

xxv. Vero prima di Lucilla, e dopo Lucilla [4]. Massimo [5] prima di Seconda, e dopo Seconda. Diotimo prima di Epitincano, e dopo Epitincano [6]. Faustina [7] prima di Antonino, e dopo Antonino. In questo modo tutte le cose. Adriano prima di Celere, indi Celere [8]. E quegli uomini di acuto ingegno, che penetravano nell' avvenire, che pieni erano di loro stessi, dove sono? come Chiarace [9], Demetrio il platonico [10], Eudemone [11], ed altri parimente di acuto ingegno? Tutto dura un giorno, tutto da lungo tempo è già morto. Alcuni nè pure per poco rimasero alla memoria. Altri passarono nelle favole. Altri anche dalle favole sono spariti. Quindi questo ricorda: è d' uopo o che il picciolo complesso di te sia dissipato, o che la tua debole anima [12] si estingua, o che sia rimossa ed altrove collocata.

xxvi. Il goder dell' uomo consiste nell' o-

perare ciò che propio è dell' uomo. Propio è dell' uomo amar il compagno di specie, sprezzar le commozioni del senso, distinguere tra le probabili apparenze, contemplare la natura dell' universo, e quanto secondo questa si produce.

XXVII. Tre abitudini 13. Una con la causa che ne circonda. Una con la causa divina per cui è quanto avviene a tutti. Una con quelli che con noi convivono.

XXVIII. Il dolore, o è un male pel corpo, ed il corpo lo dichiari: o per la mente 14. Ma la mente è padrona di conservare la propia serenità, la propia tranquillità, e non reputarlo un male: poichè ciò che determina ogni giudizio, ogn' impeto, ogni appetito, ogni avversione sta nell' interno, e niun male ascende infino a questo.

XXIX. Spegni le immaginazioni dicendo di continuo a te stesso » sta a me che in questa mente 15 niuna perversitade abbia luogo, niuna concupiscenza, niun affetto, chec-

βλέπων πάντα ὁποῖά ἐστι, χρῶμαι ἑκάστῳ
κατ' ἀξίαν. μέμνησο ταύτης τῆς ἐξουσίας κα-
τὰ φύσιν,

λʹ. Λαλεῖν, καὶ ἐν συγκλήτῳ, καὶ πρὸς
πάνθ' ὁντινοῦν κοσμίως, μὴ περιτρανῶς ὑγιεῖ
λόγῳ χρῆσθαι.

λαʹ. Αὐλὴ Αὐγούστου, γυνὴ, θυγάτηρ;
ἔγγονοι, πρόγονοι, ἀδελφὴ, Ἀγρίππας, συγ-
γενεῖς, οἰκεῖοι, φίλοι, Ἄρειος, Μαικήνας,
ἰατροὶ, θύται, ὅλης αὐλῆς θάνατος. εἶτα
ἔπιθι τὰς ἄλλας, μὴ καθ' ἑνὸς ἀνθρώπου
θάνατον, οἷον Πομπηΐων κἀκεῖνο δὲ τὸ ἐπι-
γραφόμενον τοῖς μνήμασιν „ ἔσχατος τοῦ ἰδίου
γένους „ ἐπιλογίζεσθαι, πόσα ἐσπάσθησαν
οἱ πρὸ αὐτῶν, ἵνα διάδοχόν τινα καταλί-
πωσιν· εἶτα, ἀνάγκη ἔσχατόν τινα γενέσθαι
πάλιν ὧδε ὅλου γένους θάνατον.

λβʹ. Συντιθέναι δεῖ τὸν βίον κατὰ μίαν
πρᾶξιν· καὶ εἰ ἑκάστη τὸ ἑαυτῆς παρέχει, ὡς

chessia passione; ma, considerati tutti gli oggetti quali sono, userò di ciascuno secondo la rispettiva importanza ». Ricordati di questa facoltà conforme alla natura.

XXX. Nel senato, in qualunque altro luogo favellar modesto, non fiorito; e sano usare discorso.

XXXI. La corte di Augusto, la moglie, la figlia, i nipoti, i figliastri, la sorella, Agrippa, i parenti, i domestici, gli amici, Ario [16], Mecenate, i medici, i sacrificatori, tutta quella corte non vive più. Volgiti altrove, e considera non di un sol uomo la morte, (ma di una intera famiglia [17]); per esempio de' Pompei, e quello che su' sepolcri è solito incidersi, *ultimo della sua gente*. Considera quanta cura si dettero gli antenati per lasciare alcuno erede. E pure necessariamente uno sarà l'ultimo, ed in questo modo l'intera famiglia morrà.

XXXII. Compor bisogna l'ordine della vita con ciascuna delle azioni. Se ciascuna vi ha

οἷόν τε, ἀρκεῖσθαι· ἵνα δὲ τὸ ἑαυτῆς ἀπέχῃ, οὐδὲ εἷς σε κωλῦσαι δύναται. ἀλλὰ στήσεταί τι ἔξωθεν; οὐδὲν εἴς γε τὸ δικαίως ϗ σωφρόνως ϗ εὐλογίστως. ἄλλο δέ τι ἴσως ἐνεργητικὸν κωλυθήσεται; ἀλλὰ τῇ πρὸς αὐτὸ τὸ κώλυμα εὐαρεστήσει, ϗ τῇ ἐπὶ τὸ διδόμενον εὐγνώμονι μεταβάσει εὐθὺς ἄλλη πρᾶξις ἀντικαθίσταται, ἐναρμόσουσα εἰς τὴν σύνθεσιν, περὶ ἧς ὁ λόγος.

λγʹ. Ἀτύφως μὲν λαβεῖν, εὐλύτως δὲ ἀφεῖναι.

λδʹ. Εἴ ποτε εἶδες χεῖρα ἀποκεκομμένην, ἢ πόδα, ἢ κεφαλὴν ἀποτετμημένην, χωρίς πού ποτε ἀπὸ τοῦ λοιποῦ σώματος κειμένην, τοιοῦτον ἑαυτὸν ποιεῖ, ὅσον ἐφ' ἑαυτῷ, ὁ μὴ θέλων τὸ συμβαῖνον, ϗ ἀποσχίζων ἑαυτόν, ἢ ὁ ἀκοινώνητόν τι πράσσων. ἀπέῤῥιψαί πού ποτε ἀπὸ τῆς κατὰ φύσιν ἑνώσεως. ἐπεφύκεις γὰρ μέρος· νῦν σεαυτὸν ἀπέκοψας. ἀλλ' ὧδε κομψὸν ἐκεῖνο, ὅτι ἔξεστί σοι πά-

la parte che a lei è dato avere, sii contento. Che l'abbia a sufficienza, niuno potrallo a te impedire. _ E se alcun ostacolo esteriore si presentasse? _ Nulla certo impedirebbe l'esser giusto, sobrio, prudente. Ma qualche altro effetto impedirà forse di operare? Ad ogni modo se l'ostacolo prenderai a grado, e con rasseguato animo te in quello che avviene placidamente trasferirai, un'altra azione risulterà non meno adattata all'ordine di cui ragiono.

XXXIII. Ricevere senza orgoglio; lasciare con facilità.

XXXIV. Vedesti mai una mano recisa, od un piede, od un capo troncato, separati affatto dal resto del corpo, giacere in alcun luogo? Tale si rende chi, per quanto sta in lui, non vuole ciò che avviene, e tronca se stesso [18], ovvero fa cose contrarie al ben sociale. Tu, in certo modo, ti sei allontanato da quella unione ch'è secondo la natura. A dir vero nascesti parte di lei, ed ora da te stesso

λιν ἑνῶσαι σεαυτόν. τοῦτο ἄλλῳ μέρει οὐδενὶ θεὸς ἐπέτρεψεν, χωρισθέντι ϗ διακοπέντι, πάλιν συνελθεῖν. ἀλλὰ σκέψαι τὴν χρηστότητα, ᾗ τετίμηκε τὸν ἄνθρωπον· ϗ γὰρ ἵνα τὴν ἀρχὴν μὴ ἀποῤῥαγῇ ἀπὸ τοῦ ὅλου, ἐπ' αὐτῷ ἐποίησε· καὶ ἀποῤῥαγὲν πάλιν ἐπανελθεῖν, καὶ συμφῦναι, καὶ τὴν τοῦ μέρους τάξιν ἀπολαβεῖν ἐποίησεν.

γέ. Ὥσπερ τὰς ἄλλας δυνάμεις ἕκαστος τῶν λογικῶν σχεδὸν ὅσον ἡ τῶν λογικῶν φύσις, οὕτως καὶ ταύτην παρ' αὐτῆς εἰλήφαμεν. ὃν τρόπον γὰρ ἐκείνη πᾶν τὸ ἐνιστάμενον ϗ ἀντιβαῖνον ἐπιπεριτρέπει, ϗ κατατάσσει εἰς τὴν εἱμαρμένην, ϗ μέρος ἑαυτῆς ποιεῖ, οὕτως ϗ τὸ λογικὸν ζῶον δύναται πᾶν κώλυμα ὕλην ἑαυτοῦ ποιεῖν, ϗ χρῆσθαι αὐτῷ ἐφ' οἷον ἂν ϗ ὥρμησε.

λϛ'. Μή σε συγχείτω ἡ τοῦ ὅλου βίου φαντασία. μὴ συμπερινόει ἐπίπονα οἷα καὶ ὅσα πιθανὸν ἐπιγεγενῆσθαι· ἀλλὰ καθ'

ten sei troncato. Ma quì è opportuno ricordare ch' è in tua facoltà l' unirti di nuovo: il che Dio non concesse ad altra parte, la quale, recisa e separata, a congiugnersi non ritorna. Considera la suprema bontà che di tanta prerogativa onorò l' uomo: poichè, fin dal principio il poter gli dette di non separarsi dall' universo, e quante volte se ne fosse staccato, di tornare a congiugnersi, il luogo di parte ripigliando.

XXXV. In quel modo che ciascun ragionevole altre facoltà, per quanto n' è capace la condizion di ragionevole, ricevette dalla natura, così ebbe questa: che, come la natura tutto ciò che a lei resiste ed è a lei contrario volge in propio uso, e lo rende sua parte, così l' animal ragionevole ogn' impedimento può ridurre in materia di propie azioni, e per l' oggetto valersene verso il quale tende.

XXXVI. Non turbarti ricercando con la immaginazione il resto della tua vita. Non rappresentarti quali, e quanti travagli sarai pro-

ἕκαστον τῶν παρόντων ἐπερώτα σεαυτὸν, τί τοῦ ἔργου τὸ ἀφόρητον καὶ ἀνύποιστον; αἰσχυνθήσῃ γὰρ ὁμολογῆσαι. ἔπειτα ἀναμίμνησκε σεαυτὸν, ὅτι οὔτε τὸ μέλλον, οὔτε τὸ παρῳχηκὸς βαρεῖ σε, ἀλλὰ ἀεὶ τὸ παρόν. τοῦτο δὲ κατασμικρύνεται, ἐὰν αὐτὸ μόνον περιορίσῃς, καὶ ἀπελέγχῃς τὴν διάνοιαν, εἰ πρὸς τοῦτο ψιλὸν ἀντέχειν μὴ δύναται.

λζ'. Μήτι νῦν παρακάθηται τῇ τοῦ κυρίου σορῷ, Πάνθεια, ἢ Πέργαμος; τί δὲ τοῦ Ἀδριανοῦ, Χαυρίας, ἢ Διότιμος; γελοῖον. τί δὲ εἰ παρεκάθηντο, ἔμελλον αἰσθάνεσθαι; τί δὲ εἰ ᾐσθάνοντο, ἔμελλον ἡσθήσεσθαι; τί δὲ εἰ ἥδοντο, ἔμελλον οὗτοι ἀθάνατοι εἶναι; οὐ καὶ τούτους πρῶτον μὲν γραίας καὶ γέροντας γενέσθαι οὕτως εἵμαρτο, εἶτα ἀποθανεῖν; τί οὖν ὕστερον ἔμελλον ἐκεῖνοι ποιεῖν τούτων ἀποθανόντων;

Γράσων πᾶν τοῦτο, καὶ λύθρον ἐν θυλάκῳ.

babilmente per patire. Ma, in qualunque cosa ti si presenta, interroga te stesso » in questo fatto che vi ha d' intollerabile, d' insoffribile? » poichè arrossirai di confessarlo. Inoltre ricorda che nè il futuro ti molesta, nè il passato; ma sempre il presente. Or questo si diminuirà se, dopo averlo isolato, il guarderai d'intorno, e dimanderai con rimprovero alla mente, se il debole peso ne può sostenere.

XXXVII. Forse presso il sepolcro di Vero siede ancora Pantea, o Pergamo [19]? E Cabria o Diotimo presso quello di Adriano? La dimanda fa ridere. Ma, se vi sedessero ancora, Vero ed Adriano sarebbero più in grado di sentirlo? E, se 'l sentissero, ne proverebbero godimento? E, se ne provassero godimento, avrebbero perciò resi immortali que' liberti? Non era a quelli destinato prima d' invecchiare, poscia morire? E morti quelli, che sarebbe avvenuto de' padroni?

Tutto questo è fetore e marciume in un sacco.

λη'. Εἰ δύνασαι ὀξὺ βλέπειν, βλέπε κρίνων, φησὶ, σοφωτάτοις.

λθ' Δικαιοσύνης κατεξαναστατικὴν ἀρετὴν οὐχ ὁρῶ ἐν τῇ τοῦ λογικοῦ ζώου κατασκευῇ· ἡδονῆς δὲ ὁρῶ, τὴν ἐγκράτειαν.

μ'. Ἐὰν ἀφέλῃς τὴν σὴν ὑπόληψιν περὶ τοῦ λυπεῖν σε δοκοῦντος, αὐτὸς ἐν τῷ ἀσφαλεστάτῳ ἕστηκας. τίς αὐτός; ὁ λόγος. ἀλλ' οὐκ εἰμὶ λόγος. ἔστω. οὐκοῦν ὁ μὲν λόγος αὐτὸς ἑαυτὸν μὴ λυπείτω. εἰ δέ τι ἄλλο σοι κακῶς ἔχει, ὑπολαβέτω αὐτὸ περὶ αὐτοῦ.

μα'. Ἐμποδισμὸς αἰσθήσεως, κακὸν ζωτικῆς φύσεως. ἐμποδισμὸς ὁρμῆς, ὁμοίως κακὸν ζωτικῆς φύσεως. ἔστι δέ τι ἄλλο ὁμοίως ἐμποδιστικὸν καὶ κακὸν τῆς φυτικῆς κατασκευῆς. οὕτως τοίνυν ἐμποδισμὸς νοῦ, κακὸν νοερᾶς φύσεως. πάντα δὴ ταῦτα ἐπὶ σεαυτὸν μετάφερε. πόνος, ἡδονὴ ἅπτεταί σου; ὄψεται ἡ αἴσθησις. ὁρμήσαντι ἔνστημα ἐγένετο; εἰ μὲν ἀνυπεξαιρέτως ὥρμας, ἤδη ὡς

XXXVIII. Se hai vista penetrante, dice quello, adoprala per giudicare come i più saggi.

XXXIX. Nella condizione di un animal ragionevole nessuna virtù veggo che alla giustizia si opponga: ma veggo alla voluttà opporsi la continenza.

XL. Se torrai la tua opinione da ciò che credi ti travagli, tu stesso avrai te posto in sicuro. — Chi è quel tu stesso? — La ragione. — Ma io non sono puramente ragione — Bene. Dunque la parte ragionevole di te non molesti se stessa. E se qualche altra parte di te si trova male, ella ne giudichi.

XLI. L'impedimento del senso è male della natura animale, male dell'animal natura è l'impedimento dell'appetito. Evvi pure altro impedimento, e male della vegetativa constituzione. E così pure l'impedimento della mente è male della natura intellettiva. Or queste cose applica tutte a te stesso. Il dolore, la voluttà ti commuovono? Vedrallo il senso. Si oppone ostacolo al tuo desiderio? Se

λογικοῦ κακόν. εἰ δὲ τὸ κοινὸν λαμβάνεις, οὔπω βέβλαψαι, οὐδὲ ἐμπεπόδισαι. τὰ μέν τοι τοῦ νοῦ ἴδια οὐδεὶς ἄλλος εἴωθεν ἐμποδίζειν· τούτου γὰρ οὐ πῦρ, οὐ σίδηρος, οὐ τύραννος, οὐ βλασφημία, οὐχ ὁτιοῦν ἅπτεται· ὅταν γένηται σφαῖρος, κυκλοτερὴς μένει.

μβ'. Οὐκ εἰμὶ ἄξιος ἐμαυτὸν λυπεῖν, οὐδὲ γὰρ ἄλλον πώποτε ἑκὼν ἐλύπησα.

μγ'. Εὐφραίνει ἄλλον, ἄλλο· ἐμὲ δὲ, ἐὰν ὑγιὲς ἔχω τὸ ἡγεμονικὸν, μὴ ἀποστρεφόμενον, μήτε ἄνθρωπόν τινα, μήτε τῶν ἀνθρώποις συμβαινόντων· ἀλλὰ πᾶν εὐμενέσιν ὀφθαλμοῖς ὁρῶντα καὶ δεχόμενον, καὶ χρώμενον ἑκάστῳ κατ' ἀξίαν.

μδ'. Τοῦτον ἰδοὺ τὸν χρόνον σεαυτῷ χάρισαι.

Οἱ τὴν ὑστεροφημίαν μᾶλλον διώκοντες, οὐ λογίζονται, ὅτι ἄλλοι τοιοῦτοι μέλλουσιν ἐκεῖνοι εἶναι, οἷοί εἰσιν οὗτοι οὓς βα-

il desiderio avessi tu seguito senza sottrazione e senza contenerti, il male sarebbe della parte ragionevole. Ma, se lo ricevi come un accidente comune, non ferita ne riporti, non impedimento. Nulla impedir suole ciò ch'è propietà della mente. Ed in vero non fuoco, non ferro, non tiranno, non calunnia può quella turbare, quando come una sfera rimane in se stessa raccolta.

XLII. È indegno che io travagli me stesso, mentre niun altro mai ho travagliato.

XLIII. Altro altri rallegra. Io rallegromi però se la mente ho sana, e non fugge essa alcun uomo, od alcuno degli accidenti che agli uomini avvengono; ma tutto vede con occhio tranquillo, e degli oggetti che si presentano si vale secondo il valor di ciascuno.

XLIV. Procura di far dono a te stesso di questo tempo.

Coloro i quali vanno maggiormente appresso alla postuma fama non riflettono che, come questi che recano oggi loro molestia,

ρεῦνται· κἀκεῖνοι δὲ θνητοί. τί δὲ ὅλως πρὸς σέ; ἂν ἐκεῖνοι φωναῖς τοιαύταις ἀπηχῶσιν, ἢ ὑπόληψιν τοιαύτην περί σε ἔχωσιν.

με'. Ἀρόν με καὶ βάλλε ὅπε θέλεις. ἐκεῖ γὰρ ἕξω τὸν ἐμὸν δαίμονα ἵλεων, τοῦτ' ἔστιν, ἀρκούμενον εἰ ἔχοι καὶ ἐνεργοίη κατὰ τὸ ἑξῆς τῇ ἰδίᾳ κατασκευῇ.

Ἆρα τοῦτο ἄξιον, ἵνα δι' αὐτὸ κακῶς μου ἔχῃ ψυχὴ, καὶ χεῖρον ἑαυτῆς ᾖ, ταπεινουμένη, ὀρεγομένη, συνδυομένη [20], πτυρομένη; καὶ τί εὑρήσεις τοῦτο ἄξιον;

μς'. Ἀνθρώπῳ οὐδενὶ συμβαίνειν τι δύναται, ὃ οὐκ ἔστιν ἀνθρωπικὸν σύμπτωμα· οὐδὲ βοῒ, ὃ οὐκ ἔστι βοϊκόν· οὐδὲ ἀμπέλῳ, ὃ οὐκ ἔστιν ἀμπελικόν. οὐδὲ λίθῳ, ὃ οὐκ ἔστι λίθου ἴδιον. εἰ οὖν ἑκάστῳ συμβαίνει, ὃ καὶ εἴωθεν, καὶ πέφυκεν, τί ἂν δυσχεραίνοις; οὐ γὰρ ἀφόρητόν σοι ἔφερεν ἡ κοινὴ φύσις.

μζ'. Εἰ μὲν διά τι τῶν ἐκτὸς λυπῇ, οὐκ

sarà ciascun de' futuri. E gli uni, e gli altri morranno . . . . . In somma cosa a te monta que' loro strepiti conseguire, o che abbiano di te tale o tale opinione?

XLV. Prendimi, e gettami dove vuoi. Colà pure il mio genio avrò favorevole, cioè contento se penserà ed opererà secondo ciò ch'è conforme alla propia condizione.

Forse da tanto è la cosa che meriti l'anima mia si ammali per essa, e si peggiori con avvilirsi, appetire, confondersi, scoraggiarsi? E che troverai tu che lo meriti?

XLVI. Nulla può all' uomo avvenire che non sia umano accidente. Nè al bue che non sia pel bue. Nè alla vite che non sia per la vite. Nè alla piètra che non sia propio della pietra. Or, se a ciascuno accade ciò ch' è solito, e preordinato con la sua esistenza, perchè soffrirlo mal volentieri? Poi la natura comune cose per te intollerabili non ha fatte,

XLVII. Se di alcuna cosa esterna ti afflig-

ἐκεῖνό σοι ἐνοχλεῖ, ἀλλὰ τὸ σὸν περὶ αὐτοῦ κρίμα. τοῦτο δὲ ἤδη ἐξαλεῖψαι ἐπί σοι ἐστίν. εἰ δὲ λυπεῖ σέ τι τῶν ἐν τῇ σῇ διαθέσει, τίς ὁ κωλύων διορθῶσαι τὸ δόγμα; ὅμως δὲ καὶ εἰ λυπῇ, ὅτι οὐχὶ τὸ δέ τι ἐνεργεῖς ὑγιές σοι φαινόμενον, τί οὐχὶ μᾶλλον ἐνεργεῖς, ἢ λυπῃ; ἀλλὰ ἰσχυρότερόν τι ἐνίσταται· μὴ οὖν λυποῦ· οὐ γὰρ παρά σε ἡ αἰτία τοῦ μὴ ἐνεργεῖσθαι· ἀλλὰ οὐκ ἄξιον ζῆν, μὴ ἐνεργουμένου τούτου. ἄπιθι οὖν ἐκ τοῦ ζῆν εὐμενής, ᾗ καὶ ὁ ἐνεργῶν ἀποθνήσκει, ἅμα ἵλεως τοῖς ἐνισταμένοις.

μή. Μέμνησο, ὅτι ἀκαταμάχητον γίνεται τὸ ἡγεμονικὸν, ὅταν εἰς ἑαυτὸ συστραφὲν ἀρκεσθῇ ἑαυτῷ, μὴ ποιοῦν ὃ μὴ θέλει, κἂν ἀλόγως παρατάξηται. τί οὖν ὅταν καὶ μετὰ λόγου περιεσκεμμένως κρίνῃ περί τινος;

gi, non è già quella che ti travaglia; ma bensì il giudizio che ne fai: e sta a te di subito cancellarlo. Se poi ti affligge qualche interna disposizione [21], chi di rettificare il tuo giudizio t' impedirà? [22] Similmente, se ti affliggi di non operare una cosa la quale salutare a te sembra, perchè non operarla anzichè tribolarti? — Ma un non so che di più forte vi si oppone. — Dunque non ti angustiare, mentre la causa del non operar tuo non deriva da te. — Ma indegno mi credo di vivere, se non fo questo. — Esci dunque di vita placidamente come muore colui che lo fa, e a coloro perdona che ti sono di ostacolo.

XLVIII. Ricorda che la parte reggitrice inespugnabile rendesi quando, in se raccolta, di se si contenta, e non fa quello che non vuole; ancorchè senza l' aiuto della ragione dispongasi alla battaglia. Or che fia quando, per l' aiuto della ragione, giudicherà con accorgimento di alcuna cosa?

Διὰ τοῦτο ἀκρόπολίς ἐστιν ἡ ἐλευθέρα παθῶν διάνοια· οὐδὲν γὰρ ὀχυρώτερον ἔχει ἄνθρωπος, ἐφ' ὃ καταφυγὼν ἀνάλωτος λοιπὸν ἂν εἴη· ὁ μὲν οὖν μὴ ἑωρακὼς τοῦτο, ἀμαθής· ὁ δὲ ἑωρακὼς καὶ μὴ καταφεύγων, ἀτυχής.

μθ'. Μηδὲν πλέον σαυτῷ λέγε, ὧν αἱ προηγούμεναι φαντασίαι ἀναγγέλλουσιν· ἤγγελται, ὅτι ὁ δεῖνά σε κακῶς λέγει. ἤγγελται τοῦτο. τὸ δέ, ὅτι βέβλαψαι, οὐκ ἤγγελται· βλέπω, ὅτι νοσεῖ τὸ παιδίον; βλέπω. ὅτι δὲ κινδυνεύει, οὐ βλέπω. οὕτως οὖν μένε ἀεὶ ἐπὶ τῶν πρώτων φαντασιῶν, καὶ μηδὲν αὐτὸς ἔνδοθεν ἐπίλεγε, καὶ οὐδέν σοι γίνεται· μᾶλλον δὲ ἐπίλεγε, ὡς γνωρίζων ἕκαστα τῶν ἐν τῷ κόσμῳ συμβαινόντων.

ν'. Σίκυος πικρός· ἄφες. βάτοι ἐν τῇ ὁδῷ· ἔκκλινον. ἀρκεῖ. μὴ προσεπείπῃς, τί δὴ καὶ ἐγίνετο ταῦτα ἐν τῷ κόσμῳ; ἐπεὶ καταγελασθήσῃ ὑπὸ ἀνθρώπου φυσιολόγου, ὡς ἂν

Quindi la mente libera dalle passioni è un' altissima rocca. L' uomo cosa non ha di più forte dove, ricoverato, rimanere inespugnabile. Chi questo non comprende è un ignorante. Chi lo comprende, e non ne fa suo rifugio, è un infelice.

XLIX. Nulla suggerire a te stesso oltre quello che portano i primi concepimenti dello spirito. Ti si annunzia taluno dir male di te. Ecco un rapporto: ma nel rapporto non v' ha che tu sia stato offeso. Veggo infermo il fanciulletto. Sì: ma non veggo esser egli in pericolo. Rimanti dunque sempre a' primi concepimenti, e nulla dal tuo interno v' aggiugnere. Così nulla ten risulterà. Fa anzi di più. Considera come a te già noto qualunque degli accidenti che avvengono in questo mondo.

L. È amaro il cocomero? lascialo. Spine sonovi nella strada? schivale. Basta: non aggiugnere » perchè nel mondo produconsi queste cose? » imperciocchè faresti ridere un uo-

ϗ ὑπὸ τέκτονος ϗ σκυτέως γελασθείης, καταγινώσκων, ὅτι ἐν τῷ ἐργαστηρίῳ ξέσματα ϗ περιτμήματα τῶν κατασκευαζομένων ὁρᾷς. ϗ τοι ἐκεῖνοί γε ἔχουσι πῦ αὐτὰ ῥίψωσιν· ἡ δὲ τῶν ὅλων φύσις, ἔξω οὐδὲν ἔχει· ἀλλὰ τὸ θαυμαστὸν τῆς τέχνης ταύτης ἐστὶν, ὅτι περιορίσασα ἑαυτὴν, πᾶν τὸ ἔνδον διαφθείρεσθαι ϗ γηράσκειν ϗ ἄχρηστον εἶναι δοκοῦν, εἰς ἑαυτὴν μεταβάλλει, καὶ ὅτι πάλιν ἄλλα νεαρὰ ἐκ τούτων αὐτῶν ποιεῖ· ἵνα μήτε οὐσίας ἔξωθεν χρήζῃ, μήτε ὅπου ἐκβάλῃ τὰ σαπρότερα προσδέηται. ἀρκεῖται οὖν ϗ χώρᾳ τῇ ἑαυτῆς, ϗ ὕλῃ τῇ ἑαυτῆς, ϗ τέχνῃ τῇ ἰδίᾳ.

να'. Μήτε ἐν ταῖς πράξεσιν ἐπισύρειν· μήτε ἐν ταῖς ὁμιλίαις φύρειν· μήτε ἐν ταῖς φαντασίαις ἀλᾶσθαι· μήτε τῇ ψυχῇ καθάπαξ συνέλκεσθαι ἢ ἐκθόρνυσθαι· μήτε ἐν τῷ βίῳ ἀσχολεῖσθαι.

Κτείνουσι, κρεανομοῦσι, κατάραις ἐλαύ-

mo che conosce la natura; come rider faresti eziandio un falegname ed un calzolaio, se costoro condannassi, vedendo nelle lor officine le raschiature ed i ritagli delle materie ch' essi lavorano. E pure tali artefici hanno dove gittar que' frammenti: mentre la natura dell' universo niente ha fuori di lei. Ma ciò che della costei arte reca maraviglia è precisamente, che, circoscritta in se stessa, quanto dentro di lei si corrompe s'invecchia e vede inutile divenire, tutto in se stessa converte, ed in novelli prodotti riduce, in guisa che non di materia esteriore abbisogna, nè desidera dove gittar le cose corrotte. Ella è soddisfatta del suo luogo, della sua materia, della propia arte.

LI. Nell' operare non affaticarsi. In conversazione non essere inquieto. Non vagar con la immaginazione. Nè in modo alcuno lasciar vincere l'animo dalla tristezza, o dall' impeto. Nè la vita consumar fra gli affari.

Uccidono, tagliano in pezzi, infestano

νουσι. τί οὖν ταῦτα πρὸς τὸ τὴν διάνοιαν μένειν καθαράν, φρενήρη, σώφρονα, δικαίαν; οἷον εἴ τις παραστὰς πηγῇ διαυγεῖ καὶ γλυκείᾳ, βλασφημοίη αὐτήν, ἡ δὲ οὐ παύεται πότιμον ἀναβλύζουσα· κἂν πηλὸν ἐμβάλῃ, κἂν κοπρίαν, τάχιστα διασκεδάσει αὐτά, καὶ ἐκκλύσει, καὶ οὐδαμῶς βαφήσεται.

Πῶς οὖν πηγὴν ἀέναον ἕξεις, καὶ μὴ φρέαρ; φύλασσε σεαυτὸν πάσης ὥρας εἰς ἐλευθερίαν, μετὰ τοῦ εὐμενῶς, καὶ ἁπλῶς, καὶ αἰδημόνως.

νβ'. Ὁ μὲν μὴ εἰδώς, ὅ τι ἐστὶ κόσμος, οὐκ οἶδεν, ὅπου ἐστίν. ὁ δὲ μὴ εἰδώς, πρὸς ὅ τι πέφυκεν, οὐκ οἶδεν, ὅστις ἐστίν, οὐδὲ τί ἐστι κόσμος. ὁ δὲ ἕν τι τούτων ἀπολιπών, οὐδ' ἂν, πρὸς ὅ τι αὐτὸς πέφυκεν, εἴποι. τίς οὖν φαίνεταί σοι ὁ τὸν τῶν κροτούντων ἔπαινον φεύγων ἢ διώκων, οἳ οὔθ' ὅπου εἰσίν, οὔτε οἵτινές εἰσι γινώσκουσι;

νγ'. Ἐπαινεῖσθαι θέλεις ὑπὸ ἀνθρώπου,

con maledizioni . . . . . Ma ciò impedirà forse alla mente di conservarsi pura, prudente, sobria, giusta? Tale chiara e dolce fonte, cui un astante maledicesse, non lascerebbe di scaturire acqua da bere: ed ancorchè fango ed ancorchè sterco vi si mettesse, ella subito lo rigetterebbe, senza punto esserne contaminata.

Come aver tu una fonte perenne [23], anzi che una cisterna? Facendo te rinascere alla libertà, alla equanimità, alla semplicità, alla modestia.

LII. Chi non vede che cosa è il mondo ignora dove sta. Chi non vede a che fine esista non sa chi egli sia, e che cosa sia il mondo. Quello a cui manca una di queste due cognizioni non può dire a che fine è stato fatto [24]. Or che ti sembra di colui che le lodi fugge o scaccia degli adulatori, i quali non sanno nè dove sono, nè ciò che sono?

LIII. Tu esser vuoi lodato dall'uomo, il

τρὶς τῆς ὥρας ἑαυτῷ καταρωμένῳ; ἀρέσκειν θέλεις ἀνθρώπῳ, ὃς οὐκ ἀρέσκει ἑαυτῷ; ϗ ἀρέσκει ἑαυτῷ, ὁ μετανοῶν ἐφ' ἅπασι σχεδὸν οἷς πράσσει;

νδ'. Μηκέτι μόνον συμπνεῖν τῷ περιέχοντι ἀέρι, ἀλλὰ ἤδη ϗ συμφρονεῖν τῷ περιέχοντι πάντα νοερῷ. οὐ γὰρ ἧττον ἡ νοερὰ δύναμις πάντῃ κέχυται ϗ διαπεφοίτηκε τῷ σπάσαι δυναμένῳ, ἤπερ ἡ ἀερώδης τῷ ἀναπνεῦσαι δυναμένῳ.

νε'. Γενικῶς μὲν, ἡ κακία οὐδὲν βλάπτει τὸν κόσμον. ἡ δὲ κατὰ μέρος, οὐδὲν βλάπτει τὸν ἕτερον. μόνῳ δὲ βλαβερά ἐστι τούτῳ, ᾧ ἐπιτέτραπται, ϗ ἀπηλλάχθαι αὐτῆς, ὁπόταν πρῶτος οὗτος θελήσῃ.

νς'. Τῷ ἐμῷ προαιρετικῷ τὸ τοῦ πλησίον προαιρετικὸν ἐπίσης ἀδιάφορόν ἐστιν, ὡς καὶ τὸ πνευμάτιον αὐτοῦ, ϗ τὸ σαρκίδιον. ϗ γὰρ εἰ ὅτι μάλιστα ἀλλήλων ἕνεκεν γεγόναμεν, ὅμως τὰ ἡγεμονικὰ ἡμῶν ἕκαστον τὴν ἰδίαν κυρίαν ἔχει· ἐπεί τοι ἔμελλεν ἡ τοῦ πλησίον

quale, in un' ora, tre volte sè maledice? Tu piacer vuoi all' uomo, che non soddisfa sè stesso? Soddisfa sè stesso colui che di quasi tutte le sue azioni si pente?

LIV. D' ora innanzi non respirar solamente l' aria che ne circonda, ma ti unisci alla intelligenza in cui tutto si contiene: mentre tal potere intellettivo 25 non è diffuso meno per ogni dove, e non penetra meno chiunque può attirarlo, che l' aria penetra e si diffonde in quello il quale può respirare.

LV. La malizia in generale non è danno pel mondo, ed in particolare non è danno pel un altro. Solo nuoce a quegli cui è dato liberarsene tosto che il vorrà.

LVI. Alla volontà mia è non meno indifferente la volontà del prossimo, che l' anima sua ed il suo corpo. Poichè, sebbene fatti principalmente gli uni per gli altri, pure ciascuna delle menti nostre ha il dominio di sè. In contrario avverrebbe la malvagità del

κακία ἐμοῦ κακὸν εἶναι· ὅπερ οὐκ ἔδοξε τῷ θεῷ, ἵνα μὴ ἐπ' ἄλλῳ ᾖ τὸ ἐμὲ ἀτυχεῖν.

νζʹ. Ο ἥλιος κατακεχύσθαι δοκεῖ, κα' πάντῃ γε κέχυται, οὐ μὴν ἐκκέχυται. ἡ γὰρ χύσις αὕτη τάσις ἐστίν. ἀκτῖνες γοῦν αἱ αὐγαὶ αὐτοῦ, ἀπὸ τοῦ ἐκτείνεσθαι λέγονται. ὁποῖον δέ τι ἐστὶν ἀκτὶς, ἴδοις ἂν εἰ διά τινος στενοῦ εἰς ἐσκιασμένον οἶκον τὸ ἀφ' ἡλίου φῶς εἰσδυόμενον θεάσαιο· γίνεται γὰρ κατ' εὐθὺ, καὶ ὥσπερ διαιρεῖται δὴ πρὸς τὸ στερέμνιον, ὅ, τι ἂν ἀπαντήσῃ, διεῖργον τὸν ἐπέκεινα ἀέρα· ἐνταῦθα δὲ ἔστη, καὶ οὐ κατώλισθεν, οὐδὲ ἔπεσε. τοιαύτην οὖν τὴν λύσιν καὶ διάχυσιν τῆς διανοίας εἶναι χρὴ, μηδαμῶς ἔκχυσιν, ἀλλὰ τάσιν, καὶ πρὸς τὰ ἀπαντῶντα κωλύματα, μὴ βίαιον μηδὲ ῥαγδαίαν τὴν ἐπέρεισιν ποιεῖσθαι· μηδὲ μὴν καταπίπτειν, ἀλλὰ ἵστασθαι, καὶ ἐπιλάμπειν τὸ δεχόμενον. αὐτὸ γὰρ ἑαυτὸ στερήσει τῆς αὐγῆς, τὸ μὴ παραπέμπον αὐτήν.

prossimo potermi render cattivo: ciò che non piacque a Dio, onde non infelice io divenissi.

LVII. Il sole sembra si sciolga: certamente si spande per tutto. Ma non si dissipa: poichè questa diffusione è un distendersi. Quindi l'emanazioni sue luminose traggono di raggi la denominazione della voce greca, che a *distendersi* corrisponde. Che cosa sia raggio conoscer puossi guardando la luce del sole per una fenditura in una stanza tenebrosa introdotta. Ella procede dirittamente, e come incontra il solido che all'aria esterna impedisce nel chiuso luogo la entrata, si riflette, fermasi colà, verso giù non iscorre, non cade. Or tale esser deve l'espansione, e 'l diffondersi della mente. Non dissipamento, distendimento bensì. Agli ostacoli, che le si oppongono, non con violenza, non inconsideratamente resista, od avviliscasi; ma rimanga stabile, e ciò che la riceve rischiari. Priva se stesso di luce chi da lei non si lascia penetrare.

νή. Ὁ τὸν θάνατον φοβούμενος, ἤτοι ἀναισθησίαν φοβεῖται, ἢ αἴσθησιν ἑτεροίαν, ἀλλ' εἴτε οὐκέτι αἴσθησιν, οὐδὲ κακοῦ τινος αἰσθήσῃ· εἴτε ἀλλοιοτέραν αἴσθησιν κτήσῃ, ἀλλοῖον ζῶον ἔσῃ, καὶ ζῆν οὐ παύσῃ.

νθ'. Οἱ ἄνθρωποι γεγόνασιν ἀλλήλων ἕνεκεν. δίδασκε οὖν, ἢ φέρε.

ξ'. Ἄλλως βέλος, ἄλλως νοῦς φέρεται. ὁ μέν τοι νοῦς, καὶ ὅταν εὐλαβῆται, καὶ ὅταν περὶ τὴν σκέψιν στρέφεται, φέρεται κατ' εὐθὺ οὐδὲν ἧττον, καὶ ἐπὶ τὸ προκείμενον.

ξα'. Εἰσιέναι εἰς τὸ ἡγεμονικὸν ἑκάστου· παρέχειν δὲ καὶ ἑτέρῳ παντὶ εἰσιέναι εἰς τὸ ἑαυτοῦ ἡγεμονικόν.

LVIII. Chi teme la morte, o teme la perdita de' sensi, o sensi aver di altro genere. Però, se rimarrà privo di sensi, non soffrirà male alcuno; e, se avrà sensi di altro genere, sarà animato in altro modo, e di vivere non cesserà.

LIX. Gli uomini sono fatti gli uni per gli altri. Dunque o insegna, o sopporta.

LX. In altro modo la freccia, in altro modo muovesi l' intelletto. Però l' intelletto, quando considera ed esamina per ogni lato una cosa, portasi non meno dirittamente allo scopo.

LXI. Penetrar nella mente di ciascuno, e permettere a tutti di penetrar nella tua.

NOTE

AL

LIBRO OTTAVO

DE' RICORDI

DI

MARCO AURELIO ANTONINO

NOTE

AL LIBRO OTTAVO.

(1) » La nécessité de faire le bien et de ne pouvoir faire le mal est attachée à la nature de Dieu, qui ne peut jamais s' en éloigner. L' homme donc qui suit cette loi générale et universelle ne fait que suivre l'exemple de Dieu; il travaille avec lui à une seule et même chose, et, comme Antonin s' explique ailleurs, il fait le même métier que Dieu. » Dacier.

(2) *Libera si dentur populo suffragia, quis tam
Perditus, ut dubitet Senecam præferre Neroni?*
Juven. Sat. VIII.

(3) Cioè *di cuore*.

(4) Il Salmasio, il Barberini, il Dacier, il Gatakero, il Joly credono quì Marco Aurelio dica *Lucilla sopravvisse a Vero, indi morì Lucilla*. Ma il nostro filosofo esprimer non poteva questa idea; poichè Lucilla finì di vivere dopo di lui. Commodo fè questa uccidere, essendo già imperatore. Rilevasi dal primo libro di Erodiano. Marco Aurelio, estinti e vivi confondendo insieme, intende ricordare idee per l'umano disinganno mai ripetute a bastanza, cioè *la morte essere inevitabile; colui che ad altri sopravvive dovere anch' egli morire*.

(5) Claudio Massimo. V. la vita di Marco Aurelio alla nota 12.

(6) Ignoti. Il nome di Epitincano trovasi in anti-

che iscrizioni sepolcrali. Nel §. 37 di questo libro è accennato un Diotimo, forse familiare di Adriano.

(7) Annia Galeria Faustina, zia paterna di Marco Aurelio, moglie di Antonino pio, e madre della seconda Faustina.

(8) Caninio Celere. V. la vita di Marco Aurelio alla nota 12.

(9) Χιάραξ. Forse Ἱέραξ, Jerace. Di un libro *de Justitia* di Jerace trovansi frammenti presso Stobèo. Potrebbe darsi il testo dicesse Χάραξ, Carace. Suida fa menzione di un Χάραξ filosofo.

(10) *Demetrius phalereus . . . . . Disputator subtilis*. Cicer. Offic. lib. 1. Demetrio Falereo dal nostro filosofo è nominato anche altrove: lib. XI, §. 29.

(11) Astrologo.

(12) Τὸ πνευμάτιον, *foible principe de la vie*. Joly.

(13) *Rapports*. Joly.

(14) Ψυχῇ, *mente* piuttosto che *anima*.

(15) V. la nota precedente.

(16) Filosofo alessandrino. In grazia di lui Augusto esercitò molte indulgenze in Alessandria.

(17) Senza questa giunta il luogo rimarrebbe oscuro.

(18) *Se détache du grand tout*. Joly.

(19) Τοῦ κυρίου, del signore. Pantéa, liberta di Lucio Vero, da cui fu amata. Pergamo, liberto dello stesso principe.

(20) Συνδυομένη, *anxia*, lo Csilandro. Il Casaubono legge συγχεομένη, *confusa*. *Quid si* συνδεομένη *legatur? Una cum corpore constricta*, et vinculis quodammodo obnoxia. Gatak.

(21) In questa circostanza la mente è a considerarsi sopita da' sensi.

(22) La parte intellettuale prevaler deve sull' animale.

(23) » Cela ressemble bien à ce que I. C. dit, dans Sain Jean, que l' eau qu' il nous donne à boire produit en nous une fontaine saillante en vie éternelle. *Sed aqua quam ego dabo ei, fiet in eo fons aquæ salientis in vitam æternam.* » Dacier.

(24) » Y a-t-il quelqu' un qui ignore qu' il y ait un monde? Les plus ignorants ne savent ils pas qu' il à des élémens, une terre, des cieux? Mais ce n' est pas ce qu' Antonin a voulu dire. Savoir, qu' il y a un monde, c' est, dans le sens de cet empereur, savoir comment il a été fait, et qui le gouverne; connoître ses différentes parties, et ce qui les unit; quelle portion de ce tout on est soi-même, et à quel usage on y est destiné? Ces deux connoissances, celle du monde et celle de soi-même sont liées, et si dépendantes l' une de l' autre, qu' on ne peut être privé de l' une sans être privé de toutes les deux. » Dacier.

(25) La suprema intelligenza, la mente universale.

DE'

RICORDI

DI

MARCO AURELIO ANTONINO

TRADOTTI

LIB.IX.

. . . . . ad nullam insolentiam elatus est, imperii fastigio. EUTROPIUS *Hist. Rom.*

ΜΑΡΚΟΥ ΑΥΡΗΛΙΟΥ ΑΝΤΩΝΙΝΟΥ

ΤΩΝ ΕΙΣ ΕΑΥΤΟΝ

ΒΙΒΛΙΟΝ Θ'.

ά Ο ΑΔΙΚΩΝ, ἀσεβεῖ. τῆς γὰρ τῶν ὅλων φύσεως κατεσκευακυίας τὰ λογικὰ ζῶα ἕνεκεν ἀλλήλων, ὥστε ὠφελεῖν μὲν ἄλληλα κατ' ἀξίαν, βλάπτειν δὲ μηδαμῶς· ὁ τὸ βούλημα ταύτης παραβαίνων, ἀσεβεῖ δηλονότι εἰς τὴν πρεσβυτάτην τῶν θεῶν.

Καὶ ὁ ψευδόμενος δὲ ἀσεβεῖ περὶ τὴν αὐτὴν θεόν'.

Ἡ γὰρ τῶν ὅλων φύσις, ὄντων ἐστὶ φύσις. τὰ δέ γε ὄντα πρὸς τὰ ὑπάρχοντα πάντα οἰκείως ἔχει.

DI MARCO AURELIO ANTONINO

RICORDI

LIBRO NONO

1. L' ingiusto opera empiamente. In fatti la natura dell' universo, avendo gli animali ragionevoli preordinati gli uni per gli altri perchè come conviene alla loro dignità mutuo si rechino giovamento, senza nuocersi giammai, quegli che non ubbidisce a questo volere offende certamente la più antica delle divinità.

Empio è ancora verso la stessa divinità chi mentisce.

La natura dell' universo è la natura di tutti gli esseri: questi in fratellevole rapporto stanno fra loro [2].

Ἔτι δὲ καὶ ἀλήθεια αὕτη ὀνομάζεται, καὶ τῶν ἀληθῶν ἁπάντων πρώτη αἰτία ἐστίν. ὁ μὲν οὖν ἑκὼν ψευδόμενος ἀσεβεῖ, καθόσον ἐξαπατῶν ἀδικεῖ· ὁ δέ ἄκων, καθόσον διαφωνεῖ τῇ τῶν ὅλων φύσει, καὶ καθόσον ἀκοσμεῖ, μαχόμενος τῇ τοῦ κόσμου φύσει· μάχεται γὰρ ὁ ἐπὶ τἀναντία τοῖς ἀληθέσι φερόμενος παρ' ἑαυτόν· ἀφορμὰς γὰρ προειλήφει παρὰ τῆς φύσεως. ὧν ἀμελήσας οὐχ οἷός τε ἐστὶ νῦν διακρίνειν τὰ ψευδῆ ἀπὸ τῶν ἀληθῶν.

Καὶ μὴν ὁ τὰς ἡδονὰς ὡς ἀγαθὰς διώκων, τοὺς δὲ πόνους ὡς κακὰ φεύγων, ἀσεβεῖ. ἀνάγκη γὰρ τὸν τοιοῦτον μέμφεσθαι πολλάκις τῇ κοινῇ φύσει, ὡς παρ' ἀξίαν τι ἀπονεμούσῃ τοῖς φαύλοις, καὶ τοῖς σπουδαίος· διά τὸ πολλάκις τοὺς μὲν φαύλους ἐν ἡδοναῖς εἶναι, καὶ τὰ ποιητικὰ τούτων κτᾶσθαι· τοὺς δὲ σπουδαίους, πόνῳ, καὶ τοῖς ποιητικοῖς τούτου περιπίπτειν. ἔτι δὲ ὁ φοβούμενως τοὺς πόνους, φοβηθήσεταί ποτε τῶν ἐσομένων τι ἐν τῷ κόσ-

3 La natura dell' universo verità si denomina, e di tutte le veritadi è prima cagione. Il mentitor volontario è un empio perchè con l'inganno commette ingiustizia; empio è pure chi mentisce involontariamente, perchè, dalla natura dell' universo discordando, disordina, combatte la natura del mondo. Ed in fatti la combatte colui che portasi contro la verità: mentre dalla natura anticipatamente ricevuto avea un opposto instinto, e per averlo trascurato non distingue ora più il falso dal vero.

Empio è pure chi va in cerca delle voluttadi come di beni, e fugge il dolor come un male: poichè sarà necessario costui sovente accusar la natura comune, quasi ella non secondo il merito a' pigri 4 ed a' solleciti 5 facesse distribuzione: mentre spesse volte i pigri stanno in mezzo a' piaceri e quello che i piaceri produce posseggono, ed i solleciti si abbattono nel dolore e nelle circostanze dalle quali è generato. D' al-

μω· τοῦτο δὲ ἤδη ἀσεβές. ὅ, τε διώκων τὰς ἡδονὰς, οὐκ ἀφέξεται τοῦ ἀδικεῖν· τοῦτο δὲ ἐναργῶς ἀσεβές. χρὴ δὲ πρὸς ἃ ἡ κοινὴ φύσις ἐπίσης ἔχει (οὐ γὰρ ἀμφότερα ἐποίει, εἰ μὴ πρὸς ἀμφότερα ἐπίσης εἶχε) πρὸς ταῦτα καὶ τοὺς τῇ φύσει βουλομένους ἕπεσθαι ὁμογνώμονας ὄντας, ἐπίσης διακεῖσθαι. ὅστις οὖν πρὸς πόνους, καὶ ἡδονὰς, ἢ θάνατον καὶ ζωὴν, ἢ δόξαν καὶ ἀδοξίαν, οἷς ἐπίσης ἡ τῶν ὅλων φύσις χρῆται, αὐτὸς οὐκ ἐπίσης ἔχει, δῆλον ὡς ἀσεβεῖ.

Λέγω δὲ τὸ χρῆσθαι τούτοις ἐπίσης τὴν κοινὴν φύσιν, ἀντὶ τοῦ κατὰ τὸ συμβαίνειν ἐπίσης κατὰ τὸ ἑξῆς γινομένοις, καὶ ἐπιγινομένοις ὁρμῇ τινι ἀρχαίᾳ τῆς προνοίας, καθ' ἣν ἀπό τινος ἀρχῆς ὥρμησεν ἐπὶ τήνδε τὴν διακόσμησιν, συλλαβοῦσά τινας λό-

tronde chi paventa il dolore avrà têma di alcuni accidenti che dovranno nel mondo avvenire; e questo è antica empietà: e chi corre appresso i piaceri, non se ne asterrà per non commettere ingiustizia; e questa è un'empietà manifesta. Colui che seguir desidera la natura, concordare con lei, è d'uopo sia indifferente verso le cose alle quali ella, la natura comune, ugualmente attende (mentre le une e le altre non avrebbe fatte, se alle une ed alle altre non fosse stata ugualmente propensa). Laonde chiunque il dolore ed il piacere, la morte e la vita, la gloria e la ignominia, delle quali ugualmente servesi la natura, non ugualmente riceve, chiaro fia essere un empio.

Io dico intanto la natura comune valersi di questi indistintamente, come se dicessi avvenir questi per coordinazione con gl'i eventi che si producono e sopravvengono secondo l'antico impulso della Provvidenza, con cui, fin dal principio, ella spinse

γῦς τῶν ἐσομένων, κ̀ δυνάμεις γονίμυς ἀφορίσασα, ὑποςάσεών τε, κ̀ μεταβολῶν, κ̀ διαδοχῶν τοιύτων.

β'. Χαριεςέρυ μὲν ἦν ἀνδρὸς ἄγευςον ψευδολογίας, κ̀ πάσης ὑποκρίσεως κ̀ τρυφῆς κ̀ τύφυ γενόμενον ἐξ ἀνθρώπων ἀπελθεῖν. τὸ δ' ὖν κορεσθέντα γε τύτων ἀποπνεῦσαι, δεύτερος πλῦς, ἢ προῃρῆσθαι προσκαθῆσθαι τῇ κακίᾳ. κ̀ ὔπω σε ὐδὲ ἡ πεῖρα πείθει φεύγειν ἐκ τῦ λοιμῦ; λοιμὸς γὰρ διαφθορὰ διανοίας, πολλῷ γε μᾶλλον ἤπερ ἡ τῦ περικεχυμένυ τύτυ πνεύματος τοιάδε τις δυσκρασία κ̀ τροπή. αὕτη μὲν γὰρ ζώων λοιμὸς, καθὸ ζῶά ἐςιν· ἐκείνη δὲ ἀνθρώπων, καθὸ ἄνθρωποί εἰσιν.

γ'. Μὴ καταφρόνει θανάτυ, ἀλλὰ εὐαρέςει αὐτῷ, ὡς καὶ τύτυ ἑνὸς ὄντος, ὧν ἡ φύσις ἐθέλει. οἷον γάρ ἐςι τὸ νεάσαι, καὶ

se stessa ad ordinar la macchina mondiale, dopo di aver concepute alcune ragioni del futuro, e di aver disegnate le facoltà feconde dell' esistenze, de' cambiamenti, e di vicende a queste somiglianti.

II. Sarebbe certo più gradevole che l' uomo uscir potesse di vita senza aver gustata la menzogna, ed ogni simulazione, ed il lusso, e l' orgoglio. D' altronde, anche satollo di vizj sì fatti, sarà sempre, sebbene in secondo luogo, navigar con buon vento l' anteporre la morte al perseverare nella malvagità. E non ancora te l' esperienza persuade a fuggir dalla peste? Imperocchè la corruzion della mente è peste maggiore assai dell' alterazione, del peggioramento dell' aria che si muove intorno. Questa è peste per gli animali come animali; quella per gli uomini come uomini.

III. Non disprezzar la morte, ma compiaciti di lei, essendo una delle cose che vuole natura. Poichè quali sono la gioventù,

τὸ γηράσαι; καὶ τὸ αὐξῆσαι, καὶ τὸ ἀκμάσαι; καὶ ὀδόντας, καὶ γένειον, καὶ πολιὰς ἐνεγκεῖν, καὶ σπεῖραι, καὶ κυοφορῆσαι, καὶ ἀποκυῆσαι, καὶ τὰ ἄλλα τὰ φυσικὰ ἐνεργήματα, ὅσα αἱ τοῦ σοῦ βίου ὧραι φέρουσιν, τοιοῦτο καὶ τὸ διαλυθῆναι. τοῦτο μὲν οὖν κατὰ ἄνθρωπόν ἐστι λελογισμένον, μὴ ὁλοσχερῶς, μηδὲ ὠστικῶς, μηδὲ ὑπερηφάνως πρὸς τὸν θάνατον ἔχειν· ἀλλὰ περιμένειν ὡς μίαν τῶν φυσικῶν ἐνεργειῶν· ὡς νῦν περιμένεις, πότε ἔμβρυον ἐκ τῆς γαστρὸς τῆς γυναικός σου ἐξέλθῃ, οὕτως ἐκδέχεσθαι τὴν ὥραν ἐν ᾗ τὸ ψυχάριόν σου τοῦ ἐλύτρου τούτου ἐκπεσεῖται.

Εἰ δὲ καὶ ἰδιωτικὸν παράπηγμα ἀψικάρδιον θέλεις, μάλιστά σε εὔκολον πρὸς τὸν θάνατον ποιήσει, ἡ ἐπίστασις ἡ ἐπὶ τὰ ὑποκείμενα, ὧν μέλλεις ἀφίστασθαι, καὶ μεθ' οἵων ἠθῶν οὐκέτι ἔσται ἡ ἐμπεφυρμένη. προσκόπτεσθαι μὲν γὰρ αὐτοῖς ἥκιστα δεῖ, ἀλλὰ καὶ κήδεσθαι καὶ πράως φέρειν. μεμνῆσθαι μέντοι ὅτι οὐκ ἀπ' ἀνθρώπων ὁμο-

l'invecchiare, il crescere, il divenir adulto, il mettere i denti, il divenir barbato, l'incanutire, il generare, la gravidanza, il partorire, ed altre operazioni naturali che dalle stagioni si producono della vita tua, tale ancora è il dissolversi. Dunque sia dell'uomo savio non, relativamente alla morte, esser leggiero, non impetuoso, non superbo; ma quella attendere come una opera della natura. Quindi, nel modo che attendi esca il feto dall'utero di tua donna, così aspettar devi l'ora in cui la picciola anima tua libererassi da questo invoglio.

Se poi aiuto desideri incoraggiante, ma volgare, soprattutto ti renderà pronto alla morte il riflettere sugli oggetti presenti, da' quali uscendo di vita ti separerai, e su i costumi degli uomini, fra' quali non sarai più obbligato a star misto. D'altronde uopo è questi non urtare; ma e prenderne cura, e sopportarli con indulgenza. Ricorda non aver,

δογματούντων σοι ἡ ἀπαλλαγὴ ἔςαι. τοῦτο γὰρ μόνον, εἴ περ ἄρα, ἀνθεῖλκεν ἂν καὶ κατεῖχεν ἐν τῷ ζῆν, εἰ συζῆν ἐφεῖτο τοῖς τὰ τοιαῦτα δόγματα περιπεποιημένοις. νῦν δὲ ὁρᾷς, ὅσος ὁ κόπος ἐν τῇ διαφωνίᾳ τῆς συμβιώσεως, ὥςε εἰπεῖν, θᾶττον ἔλθῃς, ὦ θάνατε, μή πε καὶ αὐτὸς ἐπιλάθωμαι ἐμαυτοῦ.

δ'. Ο ἁμαρτάνων ἑαυτῷ ἁμαρτάνει. ὁ ἀδικῶν ἑαυτὸν κακοῖ, κακὸν ἑαυτὸν ποιῶν.

ε'. Αδικεῖ πολλάκις ὁ μὴ ποιῶν τι, ὐ μόνον ὁ ποιῶν τι.

ς'. Αρκεῖ ἡ παροῦσα ὑπόληψις καταληπτικὴ, καὶ ἡ παροῦσα πρᾶξις κοινωνικὴ, καὶ ἡ παροῦσα διάθεσις εὐαρεςικὴ πρὸς πᾶν τὸ παρὸν τὸ ἐκ τῆς αἰτίας συμβαῖνον.

ζ'. Εξαλεῖψαι φαντασίαν· στῆσαι ὁρμήν· σβέσαι ὄρεξιν· ἐφ' ἑαυτῷ ἔχειν τὸ ἡγεμονικόν.

συνορᾷς, ἐπέχειν, ϗ συμβούλοις τοῖς ἀρίστοις χρῆσθαι· ἐὰν ϗ ἕτερά τινα πρὸς ταῦτα ἀντιβαίνῃ, προϊέναι κατὰ τὰς παρούσας ἀφορμὰς λελογισμένως, ἐχόμενον τοῦ φαινομένου δικαίου. ἄριστον γὰρ κατατυγχάνειν τούτου. ἐπεί τοι ἥ γε ἀπόπτωσις ἀπὸ τούτου ἔστω.

Σχολαῖόν τι ϗ ἅμα εὐκίνητόν ἐστι, ϗ φαιδρὸν ἅμα ϗ συνεστηκός, ὁ τῷ λόγῳ κατὰ πᾶν ἑπόμενος.

ιγ'. Πυνθάνεσθαι ἑαυτοῦ, εὐθὺς ἐξ ὕπνου γινόμενον.

Μή τι διοίσει σοι, ἐὰν ὑπὸ ἄλλου γένηται τὰ δίκαια ϗ καλῶς ἔχοντα; οὐ διοίσει.

Μή τι ἐπιλέλησαι, ὅτι οὗτοι οἱ ἐν τοῖς περὶ ἄλλων ἐπαίνοις ϗ ψόγοις φρυαττόμενοι, τοιοῦτοι μὲν ἐπὶ τῆς κλίνης εἰσὶ, τοιοῦτοι δὲ ἐπὶ τῆς τραπέζης, οἷα δὲ ποιοῦσιν, οἷα δὲ φεύγουσιν, οἷα δὲ διώκουσιν, οἷα δὲ κλέπτουσιν, οἷα δὲ ἁρπάζουσιν, οὐ χερσὶ ϗ ποσὶν, ἀλλὰ τῷ τιμιωτάτῳ ἑαυτῶν μέρει, ᾧ γίνεται, ὅταν θέλῃ, πίστις, αἰδὼς, ἀλήθεια, νόμος, ἀγαθὸς δαίμων;

tro, t'innoltra in esso. Se nol vedi, arrestati e di ottimi consiglieri ti servi. Se poi una difficoltà qualunque ti si oppone, procedi con prudenza e, secondo le occasioni che ti si presentano, aderisci al giusto. Ottimo il seguir ciò. Andandone lontano cadresti.

Chi segue in tutto la ragione è placido ed insieme attivo, ameno e grave insieme.

XIII. Subito svegliato dì, te stesso interrogando,

T'importerà forse che altri faccia giuste e belle azioni? Non t'importerà.

Hai forse dimenticato questi, che nel lodare o biasimar gli altri insuperbiscono, tali essere in letto, tali a desco? E quali cose facciano, e quali fuggano; quali seguano, quali nascondano; quali rapiscano, e non co' piedi o con le mani, come suol dirsi; ma con la parte di lor più pregevole, che quando vuole offre nelle sue opere 13 la fede, la modestia, la verità, la legge, il buon genio?

ιδ΄. Τῇ πάντα διδούσῃ ϗ ἀπολαμβανούσῃ φύσει, ὁ πεπαιδευμένος ϗ αἰδήμων λέγει· δὸς ὃ θέλεις, ἀπόλαβε ὃ θέλεις. λέγει δὲ τοῦτο οὐ καταθρασυνόμενος, ἀλλὰ πειθαρχῶν μόνον ϗ εὐνοῶν αὐτῇ.

ιε΄. Ὀλίγον ἐστὶ τὸ ὑπολειπόμενον τοῦτο. ζῆσον ὡς ἐν ὄρει. οὐδὲν γὰρ διαφέρει ἐκεῖ ἢ ὧδε, ἐάν τις πανταχοῦ, ὡς ἐν πόλει, τῷ κόσμῳ.

Ἰδέτωσαν, ἱστορησάτωσαν οἱ ἄνθρωποι ἄνθρωπον ἀληθινὸν κατὰ φύσιν ζῶντα. εἰ μὴ φέρουσιν, ἀποκτεινάτωσαν. κρεῖττον γὰρ ἢ οὕτω ζῆν.

ιϛ΄. Μηκέθ᾽ ὅλως περὶ τοῦ οἷόν τινα εἶναι τὸν ἀγαθὸν ἄνδρα διαλέγεσθαι· ἀλλὰ εἶναι τοιοῦτον.

ιζ΄. Τοῦ ὅλου αἰῶνος, ϗ τῆς ὅλης οὐσίας συνεχῶς φαντασία, ϗ ὅτι πάντα τὰ κατὰ μέρος, ὡς μὲν πρὸς οὐσίαν, κεγχραμίς· ὡς δὲ πρὸς χρόνον, τρυπάνου περιστροφή.

ιη΄. Εἰς ἕκαστον τῶν ὑποκειμένων ἐφιστάντα,

XIV. L' uomo di animo instrutto dice alla natura che tutto dà e riceve » dà quello che vuoi, ricevi quello che vuoi. » E non orgogliosamente il dice, ma solo con rassegnazione ed amorevolezza verso di lei.

XV. Poco è il tempo che ti resta. Vivilo come sopra una montagna. In vero nulla importa star qui o lì, se da per tutto nel mondo deesi vivere come in una città.

Veggano e riconoscano gli uomini un uomo di verità, che vive secondo natura. E se nol sopportano, l' uccidano. Ciò sarebbe meglio che vivere come loro.

XVI. Non più dedicarsi tutto a discorrere delle qualità che costituiscono l' uomo da bene; ma esser tale.

XVII. Considera di continuo tutt' i secoli, e la materia tutta. Ogni corpo rapporto alla materia è come un granello di miglio; la sua durata rispetto al tempo è come un giro di trapano.

XVIII. Fermandoti sopra ciascuno degli og-

ἐπινοεῖν αὐτὸ ἤδη διαλυόμενον, ϗ ἐν μεταβολῇ, ϗ οἷον σήψει ἢ σκεδάσει γινόμενον, ἢ καθότι ἕκαστον πέφυκεν, ὥσπερ θνήσκειν.

ιθ'. Οἷοί εἰσιν ἐσθίοντες, καθεύδοντες, ὀχεύοντες, ἀποπατοῦντες, τὰ ἄλλα.

Εἶτα οἷοι ἀνδρονομούμενοι, ϗ γαυρούμενοι, ἢ χαλεπαίνοντες, ϗ ἐξ ὑπεροχῆς ἐπιπλήττοντες. πρὸ ὀλίγου δὲ ϗ ἐδούλευον πόσοις, καὶ δι' οἷα.

Καὶ μετ' ὀλίγον, ἐν τοιούτοις ἔσονται.

κ'. Συμφέρει ἑκάστῳ, ὃ φέρει ἑκάστῳ ἡ τῶν ὅλων φύσις. καὶ τότε συμφέρει, ὅτε ἐκείνη φέρει.

κα'. „Ἐρᾷ μὲν ὄμβρου γαῖα· ἐρᾷ δὲ ὁ σεμνὸς αἰθήρ·„ [14] ἐρᾷ δὲ ὁ κόσμος ποιῆσαι ὃ ἂν μέλλῃ γίνεσθαι. λέγω οὖν τῷ κόσμῳ, ὅτι σοὶ συνερῶ. μήτι δ' οὕτω κἀκεῖνο γίνεται καὶ λέγεται, ὅτι φιλεῖ τοῦτο γίνεσθαι;

getti che ti si presentano, considera quello già in dissoluzione, nel cambiamento; come putrefatto o dissipato; come ogni cosa nata per morire.

XIX. Quali uomini sono mai quelli che mangiano, dormono, si congiungono, scaricano il corpo, e che altre fanno simili cose!

Quali uomini sono mai quelli che con alterigia governano, che si mettono in collera, che riprendono con tuono di superiorità! Questi non ha guari servivano: ed a quanti! e per quali cagioni!

Ed oh in che stato saranno essi tra poco!

XX. A ciascuno giova quello che a ciascuno apporta la natura dell' universo; ed allora giova quando ella lo apporta.

XXI. » La terra ama la pioggia, e l' aria l' ama ancora ». Il mondo ama fare quello che ha da essere. Quindi io dico al mondo » io unisco il mio al tuo amore ». Forse quando l'uomo fa alcuna cosa non si dice » egli

κβ΄. Ητοι ἐνταῦθα ζῇς, καὶ ἤδη εἴθικας· ἢ ἔξω ὑπάγεις, καὶ τοῦτο ἤθελες· ἢ ἀποθνήσκεις, καὶ ἀπελειτούργησας. παρὰ δὲ ταῦτα οὐδέν. οὐκοῦν εὐθύμει.

κγ΄. Εναργὲς ἔστω ἀεὶ τὸ, ὅτι τοιοῦτο ἐκεῖνο ὁ ἀγρός ἐστι· καὶ πῶς πάντα ἐστὶ ταὐτὰ ἐνθάδε τοῖς ἐν ἄκρῳ τῷ ὄρει, ἢ ἐπὶ τοῦ αἰγιαλοῦ, ἢ ὅπου θέλεις. ἄντικρυς γὰρ εὑρήσεις τὰ τοῦ Πλάτωνος,, σηκὸν ἐν ὄρει, φησὶ, περιβαλλόμενος,, καὶ βδάλλειν βλήματα.

κδ΄. Τί ἐστί μοι τὸ ἡγεμονικόν μου; καὶ ποῖόν τι ἐγὼ αὐτὸ ποιῶ νῦν; καὶ πρὸς τί ποτε αὐτῷ νῦν χρῶμαι; μήτι κενὸν νοῦ ἐστι; μήτι ἀπόλυτον καὶ ἀπεσπασμένον κοινωνίας; μήτι προστετηκὸς καὶ ἀνακεκραμμένον τῷ σαρκιδίῳ, ὥστε τούτῳ συντρέπεσθαι;

κε΄. Ο τὸν κύριον φεύγων, δραπέτης. κύριος

ama di far questo? »

XXII. O qui tu vivi, e a questo vivere già sei assuefatto; o vai fuori, e tu questo volevi; o muori, ed hai adempito il dover tuo. Nulla oltre a ciò. Dunque sta di buon animo.

XXIII. Abbi sempre ciò per evidente: la campagna esser simile a questo luogo, e tutti gli oggetti esser quì come in cima ad un monte, o sul lido del mare, o dovunque vorrai [15]. Tu ritroverai manifeste quelle parole di Platone » come un ovile cinto di siepi sul monte » [16].

XXIV. In che stato è la mia mente? Quale ora io la rendo? In che oggi io mi valgo di lei? È ella vôta forse d' intelligenza? Si è ella forse sciolta e smembrata dalla società? Forse tanto alla carne si è congiunta e mischiata, che in quella abbia a convertirsi?

XXV. Quegli che fugge il padrone un servo è

δὲ ὁ νόμος. καὶ ὁ παρανομῶν, δραπέτης. ἅμα καὶ ὁ λυπούμενος, ἢ ὀργιζόμενος, ἢ φοβούμενος, οὐ βούλεταί τι γεγονέναι, ἢ γίνεσθαι, τῶν ὑπὸ τοῦ τὰ πάντα διοικοῦντος τεταγμένων, ὅς ἐστι νόμος, νέμων ὅσα ἑκάστῳ ἐπιβάλλει. ὁ ἄρα φοβούμενος, ἢ λυπούμενος, ἢ ὀργιζόμενος, δραπέτης.

κϛʹ. Σπέρμα εἰς μήτραν ἀφεὶς ἀπεχώρησε, καὶ λοιπὸν ἄλλη αἰτία παραλαβοῦσα ἐργάζεται, καὶ ἀποτελεῖ βρέφος. ἐξ οἵου οἷον; πάλιν τροφὴν διὰ φάρυγγος ἀφῆκε, καὶ λοιπὸν ἄλλη αἰτία παραλαβοῦσα, αἴσθησιν, καὶ ὁρμὴν, καὶ τὸ ὅλον, ζωὴν, καὶ ῥώμην, καὶ ἄλλα (ὅσα καὶ οἷα;) ποιεῖ. ταῦτα οὖν τὰ ἐν τοιαύτῃ ἐγκαλύψει γενόμενα θεωρεῖν, καὶ τὴν δύναμιν οὕτως ὁρᾷν, ὡς, καὶ τὴν βρίθουσαν, καὶ τὴν ἀνωφερῆ, ὁρῶμεν, οὐχὶ τοῖς ὀφθαλμοῖς, ἀλλ' οὐχ ἧττον ἐναργῶς.

fuggitivo: il padrone è la legge: quindi chi trasgredisce alla legge è un servo fuggitivo. Lo stesso di chi si affligge, o si adira, o teme, non volendo che sia stata fatta, o facciasi alcuna delle cose ordinate da colui che governa il tutto, che è la legge, il quale a ciascuno distribuisce sua sorte. Dunque chi teme, si affligge, o si adira è un servo fuggitivo.

XXVI. Colui, dopo di aver cooperato al concepimento, parte. Poi altra cagione assume il lavoro ed il perfezionamento del feto. Da quale causa quale effetto! La stessa causa che compie il feto, per mezzo della gola materna, lo alimenta. Indi altra cagione produce il sentimento, l' instinto, in somma la vita, le forze, le altre facoltà. Ed oh quante! ed oh quali! Benchè queste cose sieno tanto coperte, pure uopo è contemplarle, come si considera la facoltà che i corpi pesanti obbliga a scendere, ed i leggieri a sollevarsi: ciò che si vede non cogli occhi, ma non meno manifestamente,

κζ'. Συνεχῶς ἐπινοεῖν, πῶς πάντα τοιαῦτα ὁποῖα νῦν γίνεται, καὶ πρόσθεν ἐγίνετο· καὶ ἐπινοεῖν γενησόμενα. καὶ ὅλα δράματα καὶ σκηνὰς ὁμοειδεῖς, ὅσα ἐκ πείρας τῆς σῆς, ἢ τῆς πρεσβυτέρας ἱστορίας ἔγνως, πρὸ ὀμμάτων τίθεσθαι· οἷον αὐλὴν ὅλην Ἀδριανοῦ, καὶ αὐλὴν ὅλην Ἀντωνίνου, καὶ αὐλὴν ὅλην Φιλίππου, Ἀλεξάνδρου, Κροίσου· πάντα γὰρ ἐκεῖνα τοιαῦτα ἦν, μόνον δι' ἑτέρων.

κη'. Φαντάζου πάντα τὸν ἐφ' ὡτινοῦν λυπούμενον, ἢ δυσαρεστοῦντα, ὅμοιον τῷ θυομένῳ χοιριδίῳ ἀπολακτίζοντι καὶ κεκραγότι. ὅμοιος καὶ ὁ οἰμώζων ἐπὶ τοῦ κλινιδίου μόνος σιωπῇ τὴν ἔνδεσιν ἡμῶν. καὶ ὅτι μόνῳ τῷ λογικῷ ζώῳ δέδοται, τὸ ἑκουσίως ἕπεσθαι τοῖς γινομένοις. τὸ δὲ ἕπεσθαι ψιλὸν, πᾶσιν ἀναγκαῖον.

κθ'. Κατὰ μέρος ἐφ' ἑκάστου ὧν ποιεῖς ἐφιστάνων, ἐρώτα σεαυτὸν, εἰ ὁ θάνατος δεινὸν διὰ τὸ τούτου στέρεσθαι.

λ'. Ὅταν προσκόπτῃς ἐπί τινος ἁμαρτίᾳ,

xxvii. Pensa di continuo come tutte le cose che ora si fanno, tali sono state fatte per lo passato, e considera che tali si faranno per l'avvenire. Rappresentati tutte le favole e scene somiglianti, che per esperienza conosci, o per istorie antiche. Per esempio tutta la corte di Adriano, tutta la corte di Antonino, tutta la corte di Filippo, di Alessandro, di Creso. Tutte quelle erano come queste, ma solo con altri personaggi.

xxviii. Colui che si affligge e si duole per qualunque caso immaginati simile al porcello calcitrante e grugnente quando è immolato. Lo stesso di colui che solo ed in silenzio piange nel suo letto le propie miserie. All' animal ragionevole è dato solo di ubbidire spontaneo agli avvenimenti; poichè ubbidire nudamente è necessità per tutti.

xxix. Considera partitamente ciascuna delle tue azioni, ed a te stesso dimanda se la morte è terribile perchè ti priverà di tal cosa.

xxx. Allor che ti scandalezza il fatto di

εὐθὺς μεταβὰς, ἐπιλογίζου, τί παρόμοιον ἁμαρτάνεις· οἷον, ἀργύριον ἀγαθὸν εἶναι κρίνων, τὴν ἡδονὴν, ἢ τὸ δοξάριον, ἢ κατ' εἶδος. τούτῳ γὰρ ἐπιβάλλων, ταχέως ἐπιλήσῃ τῆς ὀργῆς· συμπίπτοντος τοῦ, ὅτι βιάζεται. τί γὰρ ποιήσει; ἢ εἰ δύνασαι, ἄφελε αὐτοῦ τὸ βιαζόμενον.

λά. Σατύρωνα ἰδὼν Σωκρατικὸν, φαντάζου ἢ Εὐτυχῆν, ἢ Ὑμένα. καὶ Εὐφράτην ἰδὼν, Εὐτυχίωνα, ἢ Σιλουανὸν φαντάζου. καὶ Ἀλκίφρονα, Τροπαιοφόρον φαντάζου· καὶ Ξενοφῶντα ἰδὼν, Κρίτωνα ἢ Σεύηρον φαντάζου. καὶ εἰς ἑαυτὸν ἀπιδὼν, τῶν Καισάρων τινὰ φαντάζου, καὶ ἐφ' ἑκάστου τὸ ἀνάλογον. εἶτα συμπροσπιπτέτω σοι, ποῦ οὖν ἐκεῖνοι; οὐδαμοῦ ἢ ὁπουδή. οὕτως γὰρ συνεχῶς θεάσῃ τὰ ἀνθρώπινα, καπνὸν, καὶ τὸ μηδὲν. μάλιστα ἐὰν συμμνημονεύσῃς, ὅτι τὸ ἅπαξ μεταβαλὸν οὐκέτι ἔσται ἐν τῷ ἀπείρῳ χρόνῳ·

alcuno, esamina tosto se tu commetti peccati simili, come lo stimar beni il danaro, la voluttà, la vanagloria, ed altre cose dello stesso genere: poichè con tal riflessione rapidamente si dissiperà il corruccio, avvertendosi da te colui operare a forza. Che avrebbe potuto egli fare? . . . O, se puoi, liberalo dalla violenza.

XXXI. Vedendo Satirione, il socratico, immagina o Eutichete, od Imene: e, vedendo Eufrate, immagina Eutichione, o Silvano: e, vedendo Alcifrone, immagina Tropeoforo: e vedendo Cseuofonte, immagina Critone o Severo [47]: e, vedendo te stesso, alcuno immagina de' Cesari: ed in ogni altro imbattendoti, ti regola corrispondentemente. Poscia ti sopravvenga questa riflessione. » Dove ora sono quelli? — In niun luogo, o dovunque. » Così avrai presente di continuo le cose umane fumo essere, nulla: massime se ricorderai il mutato una volta non più per la infinità tutta del tempo ritornare qual fu.

Σὺ οὖν ἐν τίνι;

Τί δ' οὐκ ἀρκεῖ σοι τὸ βραχὺ τοῦτο κοσμίως διαπερᾶσαι;

Οἵαν ὕλην καὶ ὑπόθεσιν φεύγεις; τί γάρ ἐστι πάντα ταῦτα ἄλλο, πλὴν γυμνάσματα λόγου ἑωρακότος ἀκριβῶς καὶ φυσιολόγως τὰ ἐν τῷ βίῳ; μένε οὖν, μέχρι ἐξοικειώσῃς σαυτῷ, καὶ ταῦτα ὡς ὁ ἐρρωμένος στόμαχος πάντα ἐξοικειοῖ, ὡς τὸ λαμπρὸν πῦρ, ὅ, τι ἂν βάλῃς, φλόγα ἐξ αὐτοῦ καὶ αὐγὴν ποιεῖ.

λβ'. Μηδενὶ ἐξέστω εἰπεῖν ἀληθεύοντι περὶ σοῦ, ὅτι οὐχ ἁπλοῦς, ἢ ὅτι οὐκ ἀγαθός· ἀλλὰ ψευδέσθω, ὅστις τούτων τι περὶ σοῦ ὑπολήψεται· πᾶν δὲ τοῦτο ἐπὶ σοί. τίς γὰρ ὁ κωλύων ἀγαθὸν εἶναι καὶ ἁπλοῦν; σὺ μόνον κρῖνον μηκέτι ζῆν, εἰ μὴ τοιοῦτος ἔσῃ· οὐδὲ γὰρ αἱρεῖ λόγος μὴ τοιοῦτον ὄντα.

λγ'. Τί ἐστι τὸ ἐπὶ ταύτης τῆς ὕλης δυ-

E tu fra quanto tempo cambierai?

Che? non ti basta passar bene questo tempo?

Quale materia, e qual quistione tu fuggi? In vero che altro sono tutte queste cose se non esercizii di un ragionevole, che ha considerato con diligenza e discorso sulla natura di quanto accade nella vita? Fermati dunque sino a quando familiari ti sii questi renduti, come stomaco vigoroso qualunque alimento fa propio, come fuoco rilucente che che si getti in esso volge in fiamma e splendore.

xxxii. Niuno possa dire con verità che non hai costumi semplici, o che uomo non sei da bene. Ma chiunque faccia questo giudizio mentisca. Tutto ciò dipende da te. Chi t' impedirà di esser buono, e di aver semplici costumi? Risolvi unicamente di non più vivere se non da tale. Che tu non sia tale ragione non il comporta.

xxxiii. Che cosa in questa materia si può

νάμενον κατὰ τὸ ὑγιέστατον πραχθῆναι ἢ ῥη-
θῆναι; ὅ, τι γὰρ ἂν τοῦτο ᾖ, ἔξεστιν αὐτὸ
πρᾶξαι ἢ εἰπεῖν· καὶ μὴ προφασίζου, ὡς κω-
λυόμενος· οὐ πρότερον παύσῃ στένων, πρὶν ἢ
τοῦτο πάθῃς, ὅτι οἷόν ἐστι τοῖς ἡδυπαθοῦσιν
ἡ τρυφὴ, τοῦτό σοι τὸ ἐπὶ τῆς ὑποβαλλο-
μένης καὶ ὑποπιπτούσης ὕλης ποιεῖν τὰ οἰ-
κεῖα τῇ τοῦ ἀνθρώπου κατασκευῇ· ἀπόλαυσιν
γὰρ δεῖ ὑπολαμβάνειν, πᾶν ὃ ἔξεστι κατὰ
τὴν ἰδίαν φύσιν ἐνεργεῖν. πανταχοῦ δὲ ἔξε-
στι. τῷ μὲν οὖν κυλίνδρῳ οὐ πανταχοῦ δίδο-
ται φέρεσθαι τὴν ἰδίαν κίνησιν, οὐδὲ τῷ
ὕδατι, οὐδὲ πυρί, οὐδὲ τοῖς ἄλλοις, ὅσα ὑπὸ
φύσεως ἢ ψυχῆς ἀλόγου διοικεῖται· τὰ γὰρ
διείργοντα καὶ ἐνιστάμενα πολλά. νοῦς δὲ
καὶ λόγος διὰ παντὸς τοῦ ἀντιπίπτοντος οὕ-
τως πορεύεσθαι δύναται, ὡς πέφυκε, καὶ
ὡς θέλει. ταύτην τὴν ῥᾳστώνην πρὸ ὀμμάτων
τιθέμενος καθ' ἣν ἐνεχθήσεται ὁ λόγος
διὰ πάντων, ὡς πῦρ ἄνω, ὡς λίθος κατω,
ὡς κύλινδρος κατὰ πρανοῦς, μηκέτι μηδὲν
ἐπιζήτει.

fare, o dire di meglio? Qualunque ella siesi, farla ti è lecito, o dirla. Nè ti scusare di esser impedito. Tu non cesserai di lamentarti sino a quando premura uguale a quella che il voluttuoso prova per le mollezze non sentirai per operare ciò che in ogni circostanza è conveniente alla costituzione umana: poichè godimento reputar devesi tutto quello ch' è dato operare secondo la propia natura. E ciò ti è in qualunque situazione permesso. Al cilindro non è dato portarsi di propio movimento per ogni luogo, nè all'acqua, nè al fuoco, nè ad altre cose dalle impressioni della natura governate, o da anima non ragionevole; poichè molte cagioni fisiche le trattengono e resiston loro. Ma la mente, la ragione può attraversare gli ostacoli tutti secondo la sua natura e la volontà sua. Messa questa facilità innanzi agli occhi tuoi, la tua ragione potrà recarsi dovunque come il fuoco in alto, la pietra in giù, il cilindro pel pendio. Non dimandare altro.

Τὰ γὰρ λοιπὰ ἐγκόμματα ἤτοι τῦ σωματικῦ ἐςὶ τῦ νεκρῦ, ἢ χωρὶς ὑπολήψεως, καὶ τῆς αὐτῦ τῦ λόγυ ἐνδόσεως, ὀ θραύει ὐδὲ ποιεῖ κακὸν ὐδοτιῦν· ἐπεί τοι καὶ ὁ πάσχων αὐτὸ, κακὸς ἂν εὐθὺς ἐγένετο. ἐπὶ γῦν τῶν ἄλλων κατασκευασμάτων, πάντων ὅ, τι ἂν κακόν τινι αὐτῶν συμβῇ, παρὰ τῦτο χεῖρον γίνεται αὐτὸ τὸ πάσχον· ἐνταῦθα δὲ, εἰ δεῖ εἰπεῖν, ϗ κρεῖττον γίνεται ὁ ἄνθρωπος, ϗ ἐπαινετώτερος, ὀρθῶς χρώμενος τοῖς προσπίπτυσιν.

Ὅλως δὲ μέμνησο, ὅτι τὸν φύσει πολίτην ὐδὲν βλάπτει, ὃ πόλιν ὐ βλάπτει, ὐδέ γε πόλιν βλάπτει, ὃ νόμον ὐ βλάπτει· τύτων δὲ τῶν καλυμένων ἀκληρημάτων ὐδὲν βλάπτει νόμον. ὃ τοίνυν νόμον ὐ βλάπτει, ὔτε πόλιν, ὔτε πολίτην.

λδʹ. Τῷ δεδηγμένῳ ὑπὸ τῶν ἀληθῶν δογμάτων, ἀρκεῖ ϗ τὸ βραχύτατον, ϗ ἐν μέσῳ κείμενον εἰς ὑπόμνησιν ἀλυπίας ϗ ἀφοβίας. οἷον,

Altri ostacoli o vengono dal corpo, ch'è un cadavere, o senza il concorso della opinione e l'intervento della ragione si presentano, e non offendono, non fanno male alcuno. In contrario colui che li soffrirebbe diverrebbe cattivo. Di tutte le opere dell'arte, se avviene qualche danno ad alcuna, questa perde di pregio. Ma, se lice quì dirlo, l'uomo che fa buon uso degli ostacoli si rende migliore e più degno di lode.

Ricorda in generale, al nato cittadino nulla nuocere che alla città non rechi danno; niente che la legge non offende ledere alla città; niuno di quegli accidenti chiamati sventure offender la legge, e, non offendendo la legge, non recar danno nè alla città, nè al cittadino.

XXXIV. Brevissimo ed ordinario cenno basta perchè colui che ha i veri dogmi delibato[18] sovvengasi di allontanare la tristezza e la tema; per esempio,

„ Φύλλα τὰ μέν τ' ἄνεμος χαμάδις χέει.

. . . .

Ὣς ἀνδρῶν γενεή [19] . . . . „

Φυλλάριον δὲ ϗ τὰ τεκνία σε· φυλλάρια δὲ ϗ ταῦτα τὰ ἐπιβοῶντα ἀξιοπίςως, ϗ ἐπιφημῦντα, ἢ ἐκ τῶν ἐναντίων καταρώμενα, ἢ ἡσυχῇ ψέγοντα, ϗ χλευάζοντα· φυλλάρια δὲ ὁμοίως, ϗ τὰ διαδεξόμενα τὴν ὑςεροφημίαν. πάντα γὰρ ταῦτα ἔαρος ἐπιγίγνεται ὥρῃ· εἶτα ἄνεμος καταβέβληκεν· ἔπειθ' ἡ ὕλη ἕτερα ἀντὶ τέτων φύει. τὸ δὲ ὀλιγοχρόνιον κοινὸν πᾶσιν·

Ἀλλὰ σὺ πάντα ὡς αἰώνια ἐσόμενα, φεύγεις, ϗ διώκεις.

Μικρὸν ϗ καταμύσεις· τὸν δὲ ἐξενεγκόντα σε ἤδη, ἄλλος θρηνήσει.

λέ. Τὸν ὑγιαίνοντα ὀφθαλμὸν πάντα ὁρᾶν δεῖ τὰ ὁρατὰ, ϗ μὴ λέγειν, τὰ χλωρὰ θέλω· τῦτο γὰρ ὀφθαλμιῶντός ἐςι. ϗ τὴν ὑγιαίνουσαν ἀκοὴν, ϗ ἔσφρησιν εἰς πάν-

» Le fronde sparge per la terra il vento

. . . .

Così l'umana schiatta . . . . »

Foglie sono i figliuoli tuoi; foglie pure questi uomini che, pretendendo esser creduti, applaudono ed encomiano, o che al contrario maledicono, biasimano in segreto, e deridono; foglie del pari quelli che faranno eco alla postuma fama. Tutte in tempo di primavera si producono; indi il vento le fa cadere; indi altre ne mette la selva in lor luogo. La brevità della durata è a tutti comune.

E tu ogni cosa fuggi, ogni cosa desideri, quasi fossero eterne!

Tra poco serrerai gli occhi, e colui che ti porterà al sepolcro subito sarà pianto da un altro.

xxxv. L'occhio sano è d' uopo vegga tutti gli oggetti visibili: non dica già « voglio il verde ». Parla così quegli che soffre l'oftalmia. L' udito sano, e l' odorato sano bisogna

τα δεῖ τὰ ἀκουστὰ ϗ ὀσφραντὰ ἑτοίμην εἶναι. ϗ τὸν ὑγιαίνοντα στόμαχον πρὸς πάντα τρόφιμα ὁμοίως ἔχειν, ὡς μύλην πρὸς πάντα ὅσα ἀλέσουσα κατεσκεύασται. ϗ τοίνυν τὴν ὑγιαίνουσαν διάνοιαν πρὸς πάντα δεῖ τὰ συμβαίνοντα ἑτοίμην εἶναι· ἡ δὲ λέγουσα, τὰ τεκνία σωζέσθω, ϗ πάντες ὅ, τι ἂν πράξω ἐπαινείτωσαν, ὀφθαλμός ἐστι τὰ χλωρὰ ζητῶν, ἢ ὀδόντες τὰ ἁπαλά.

λϛʹ. Οὐδείς ἐστιν οὕτως εὔποτμος, ᾧ ἀποθνήσκοντι οὐ παρεστήξονταί τινες ἀσπαζόμενοι τὸ συμβαῖνον κακόν. σπουδαῖος ϗ σοφὸς ἦν. μὴ τὸ πανύστατον ἔσται τις ὁ καθ' αὑτὸν λέγων; ἀναπνεύσομέν ποτε ἀπὸ τούτου τοῦ παιδαγωγοῦ; χαλεπὸς μὲν οὐδενὶ ἡμῶν ἦν· ἀλλὰ ᾐσθανόμην, ὅτι ἡσυχῇ καταγινώσκει ἡμῶν. ταῦτα μὲν οὖν ἐπὶ τοῦ σπουδαίου.

Ἐφ' ἡμῶν δὲ πόσα ἄλλα ἐστί, δι' ἃ πολὺς ὁ ἀπαλλακτιῶν ἡμῶν; τοῦτο οὖν ἐννοήσεις ἀποθνήσκων, ϗ εὐκολώτερον ἐξελεύσῃ,

sieno pronti a tutt' i suoni ed odori, e lo stomaco sano a qualunque alimento; come una mola è disposta a tutte le cose da macinare. Dunque una mente sana [20] esser deve a qualunque avvenimento preparata. Colei che dice « sieno salvi i figliuoli, quanto io faccio abbia lode » occhio è che desidera il verde, dente che cerca il tenero.

XXXVI. Niuno è fortunato al segno che, morendo, non abbia d' appresso chi di tal doloroso avvenimento rallegrisi. Sia pure onest' uomo e filosofo, non si troverà forse alcuno che, vedendolo agli estremi, non dica « respireremo finalmente liberi da questo pedante? Egli, è vero, non usava rigidezza verso niuno di noi; però mi avvidi che in secreto ci condannava ». E questo dell' uomo da bene.

Volgendoci a noi, quante altre cause vi sono, per le quali molti da noi desiderano liberarsi! Questo rifletterai all' ora della morte,

λογιζόμενος, ἐκ τοιούτου βίου ἀπέρχομαι, ἐν ᾧ αὐτοὶ οἱ κοινωνοὶ, ὑπὲρ ὧν τὰ τοσαῦτα ἠγωνισάμην, ηὐξάμην, ἐφρόντισα, αὐτοὶ ἐκεῖνοι ἐθέλουσί με ὑπάγειν, ἄλλην τινὰ τυχὸν ἐκ τούτου ῥᾳστώνην ἐλπίζοντες. τί ἂν οὖν τις ἀντέχοιτο τῆς ἐνταῦθα μακροτέρας διατριβῆς;

Μὴ μέν τοι διὰ τοῦτο ἔλαττον εὐμενὴς αὐτοῖς ἄπιθι, ἀλλὰ τὸ ἴδιον ἔθος διασώζων, φίλος, καὶ εὔνους, καὶ ἵλεως, καὶ μὴ πάλιν ὡς ἀποσπώμενος· ἀλλ᾽, ὥσπερ ἐπὶ τοῦ εὐθανατοῦντος εὐκόλως τὸ ψυχάριον ἀπὸ τοῦ σώματος ἐξειλεῖται, τοιαύτην καὶ τὴν ἀπὸ τούτων ἀποχώρησιν δεῖ γενέσθαι· καὶ γὰρ τούτοις ἡ φύσις συνῆψε, καὶ συνέκρινεν. ἀλλὰ νῦν διαλύει; διαλύομαι, ὡς ἀπὸ οἰκείων μὲν, οὐ μὴν ἀνθελκόμενος, ἀλλ᾽ ἀβιάστως· ἓν γὰρ καὶ τοῦτο τῶν κατὰ φύσιν.

λζ΄. Ἔθισον ἐπὶ παντὸς, ὡς οἷόν τε, τοῦ πρασσομένου ὑπό τινος, ἐπιζητεῖν κατὰ σαυτὸν, οὗτος τοῦτο ἐπὶ τίνα φέρει; ἄρχου δὲ ἀπὸ σαυ-

che sopportabile ti riuscirà; così tu ragionando « io esco da questa vita, dalla quale coloro che meco erano in società, e pe' quali ho tanto sofferto, ho tanto pregato, ho avuta tanta sollecitudine, essi stessi vogliono io parta, sperando facilmente da ciò alcun vantaggio. » Or chi non consentirà a non qui dimorare più lungo tempo?

D'altronde per tal cagione non partirai meno con loro benigno; ma le proprie maniere conservando, amico affettuoso dolce: e non come divelto. La tua separazion da costoro far devesi con la facilità stessa con cui l'anima di colui che sa ben morire esce dal corpo: poichè la natura ti unì e congiunse a loro, ed ella or ti distacca. Sì, io mi separo da' miei familiari, nè già quasi menato a forza, ma volontariamente; perchè questa è una delle cose conformi alla natura.

XXXVII. In tutte le azioni di ciascuno procura per quanto puoi di assuefarti a dimandare nel tuo interno « colui per qual fine

τοῦ, καὶ σαυτὸν πρῶτον ἐξέταζε.

λή. Μέμνησο, ὅτι τὸ νευροσπαστοῦν ἐστιν ἐκεῖνο, τὸ ἔνδον ἐγκεκρυμμένον. ἐκεῖνο ῥητορεία, ἐκεῖνο ζωὴ, ἐκεῖνο, εἰ δεῖ εἰπεῖν, ἄνθρωπος. μηδέποτε συμπεριφαντάζου τὸ περικείμενον ἀγγειῶδες, καὶ τὰ ὀργάνια ταῦτα τὰ περιπεπλασμένα. ὅμοια γάρ ἐστι σκεπάρνῳ. μόνον δὲ διαφέροντα, καθότι προσφυῆ ἐστιν. ἐπεί τοι οὐ μᾶλλόν τι τούτων ὄφελός ἐστι τῶν μορίων, χωρὶς τῆς κινούσης καὶ ἰσχούσης αὐτὰ αἰτίας, ἢ τῆς κερκίδος τῇ ὑφαντρίᾳ, καὶ τοῦ καλάμου τῷ γράφοντι, καὶ τοῦ μαστιγίου τῷ ἡνιόχῳ.

fa questo? » Ma comincia da te stesso, te stesso esamina prima.

xxxviii. Ricorda che quello onde sei mosso, come un fantoccio dai fili, è nascosto nel tuo interno. Quello è la persuasione, quello la vita, quello, se posso così esprimermi, è l'uomo. Non darti giammai a fantasticare sopra questa specie di vase che ti circonda, nè su gli organi de' quali è composto. Questi sono come un'ascia, con la sola differenza che parte sono del corpo. Senza la causa che le muove e trattiene, non maggiore utile si ha da tai parti di quello che 21 la tessitrice avrebbe dalla spola, lo scrittor dalla penna, dalla frusta il cocchiere.

NOTE

AL

LIBRO DECIMO

DE' RICORDI

DI

MARCO AURELIO ANTONINO

NOTE

AL LIBRO DECIMO.

(1) Qui sembra volesse dire *o mente mia, e quando uscirai dalla schiavitù del senso, dall'imperio delle cose indifferenti.*

(2) Mia, una.

(3) Gatakero la voce *στερητικῶς* cambia in *στεργητικῶς*, e soggiugne *dilectionem talem commendat sibi, qualis est στοργὴ, sive naturalis adfectio, qua prolem suam parentes diligunt; hoc est; veram, simplicem, gratuitam; non mercenariam, non fucatam, non effictam: de qua videatur Plutarchus περὶ τῆς εἰς τὰ ἔκγονα φιλοστοργίας.*

(4) La natura.

(5) *Ὡς ὑπὸ φύσεως μόνον διοικουμένη, quatenus gubernatur a natura mera*, i. e. anima vegetativa, quam *φύσιν* meram appellat sæpius Marcus, hoc est, quatenus nec sensu, ut bruta animantia, nec ratione ut homo ducitur. Sic infra § 33, *ὅσα ὑπὸ φύσεως ἢ ψυχῆς ἀλόγου διοικεῖται, quae a natura mera, vel anima regitur irrationali*. Gatak.

(6) » Car le succès ne dépend point de toi. » Dacier.

La traduzione de' *ricordi* aureliani citata sotto la indicazione del Dacier e le note che vi si leggono annesse furono lavoro comune di quel celebre erudito e della sua illustre consorte.

(7) Sembrami voglia dire *O tutta la materia sia stata una volta caos, o sia stata costantemente natu-*

ra, *sempre suddita io debbo considerarla della provvidenza*.

(8) *C' est-à-dire*, *de s' altérer*, *pour aller former d' autres individus*. Joly.

(9) « Car tout ce que nous avons de matériel en nous, s' écoule continuellement, et fait place à la nouvelle matière qui vient continuer et soutenir notre être ». Dacier.

(10) Τεῖδε sino a καγάμενον. Luogo oscuro.

(11) « Que l' esprit seul constitue l'homme, et que le corps n' en est qu' un vêtement corruptible et mortel ». Joly.

(12) Cioè *liberossi dalle insidie delle cose indifferenti*: v. la nota 1. a questo libro.

(13) . . . *offre nelle sue opere*. Secondo il testo basterebbe tradurre *opera*. Ma il senso sarebbe confuso: poichè si leggerebbe *la parte di lor più pregevole che*, *quando vuole*, *opera* . . . . *il buon genio*, cioè se stessa. Io credo sia stata mente del filosofo esprimere che la parte più pregevole dell' uomo (τὸ ἡγεμονικόν), quando vuole mantenersi libera dalle relazioni con le cose indifferenti, allora nelle sue opere la propia eccellenza manifesta.

(14) Sentenza di Euripide riportata da Aristotele. Ethic. a Nicom. lib. VIII., cap. 1.

(15) V. lib. IV, § 3; X, 15.

Sovente in questi *ricordi* di uno degli uomini più esemplari s' incontrano idee ripetute. Credeva il filosofo che mai fossero ripetute a bastanza.

(16) « C'est dans le Theætetus, dans ce dialogue admirable, où Socrate compare les avantages que les hommes d'état ont sur les philosophes, avec ceux que les philosophes ont sur les hommes d'état, et où il dit que le *philosophe, à cause du peu d'expérience qu'il a dans les affaires, paroîtra toujours aussi ignorant et aussi grossier que les bergers; car, quoiqu'il vive dans une ville, au milieu de ses concitoyens, il y est, comme s'il étoit dans un parc de brebis, sur le sommet d'une montagne*. Et Antonin ne se sert de ce passage que pour en tirer cette conséquence; que puisque le sage trouve les délices de la montagne au milieu du tumulte des villes, tout le monde peut les y trouver comme lui. » Dacier.

(17) « Satyrion, Euphratès, Alciphron, Xénophon étoient des philosophes du temps d'Antonin. Euphratès ne peut pas être celui dont Pline fait l'éloge dans la dixieme lettre du livre 1: car il étoit mort avant qu'Antonin vînt au monde, Adrien lui ayant permis de prendre du poison, à cause de sa vieillese et d'une maladie desesperée dont il étoit attaqué. C'étoit sans doute un de ses fils. Il nous reste encore des lettres qui portent le nom d'Alciphron. Eutichès, Eutychion, Sylvain, Tropéophore, Criton et Severo, philosophes tant anciens que modernes, et qui étoient tous morts avant le regne d'Antonin. » Dacier.

(18) Διδηγμένῳ, *morsicato*.

(19) Di Omero, nella Iliade, lib. VII.

(20) *Non assonnata da' sensi*.

(21) *Sans le secours de la main*, aggiunta del Joly.

DE'

RICORDI

DI

MARCO AURELIO ANTONINO

TRADOTTI

LIB. XI.

. . . inter Cæsares omnes æquissimus.

GYRALDUS *Hist. de poet.*

ΜΑΡΚΟΥ ΑΥΡΗΛΙΟΥ ΑΝΤΩΝΙΝΟΥ

ΤΩΝ ΕΙΣ ΕΑΥΤΟΝ

ΒΙΒΛΙΟΝ ΙΑ'.

α'. Τα ἴδια τῆς λογικῆς ψυχῆς. ἑαυτὴν ὁρᾷ, ἑαυτὴν διαρθροῖ, ἑαυτὴν ὁποίαν ἂν βούληται ποιεῖ, τὸν καρπὸν, ὃν φέρει αὐτὴ καρποῦται. (τοὺς γὰρ τῶν φυτῶν καρποὺς, καὶ τὸ ἀνάλογον ἐπὶ τῶν ζώων, ἄλλοι καρποῦνται.) τοῦ ἰδίου τέλους τυγχάνει, ὅπου ἂν τὸ τοῦ βίου πέρας ἐπιστῇ. οὐχ ὥσπερ ἐπὶ ὀρχήσεως καὶ ὑποκρίσεως καὶ τῶν τοιούτων ἀτελὴς γίνεται ἡ ὅλη πρᾶξις, ἐάν τι ἐγκόψῃ· ἀλλ' ἐπὶ παντὸς μέρους, καὶ ὅπου ἂν καταληφθῇ, πλῆρες, καὶ ἀπροσδεὲς ἑαυτῇ τὸ προτεθὲν ποιεῖ· ὥστε εἰπεῖν, ἐγὼ ἀπέχω τὰ ἐμά.

DI MARCO AURELIO ANTONINO

RICORDI

Libro Undecimo

1. Propietadi dell' anima ragionevole [1]. Guardare se stessa, se stessa considerare, fare qual ella vuole se stessa. Ella raccoglie il frutto ch'ella stessa produce: mentre i frutti delle piante, e ciò che a questi corrisponde negli animali altri raccolgono. Dovunque la fine le sopraggiunga del vivere, ella ha sempre conseguito il suo scopo: non come ne' balli, nelle commedie, ed in rappresentanze simili, nelle quali l'azione rimane imperfetta se soffre alcuno interrompimento. In qualunque vicenda ed in qualunque luogo sia sorpresa, ella [2] del tempo ch' è passato fa un tutto compiuto, sicchè possa dire » Io posseggo il mio ».

Ἐπι δὲ περιέρχεται τὸν ὅλον κόσμον, ϗ τὸ περὶ αὐτὸν κενὸν, ϗ τὸ σχῆμα αὐτȣ̃, ϗ εἰς τὴν ἀπειρίαν τȣ̃ αἰῶνος ἐκτείνεται, ϗ τὴν περιοδικὴν παλιγγενεσίαν τῶν ὅλων ἐμπεριλαμβάνει, ϗ περινοεῖ, καὶ θεωρεῖ, ὅτι ȣ̓δὲν νεώτερον ὄψονται οἱ μεθ' ἡμᾶς, ȣ̓δὲ περιττότερον εἶδον οἱ πρὸ ἡμῶν· ἀλλὰ τρόπον τινὰ ὁ τεσσαρακοντȣ́της, ἐὰν νȣ̃ν ὁποσονȣ̃ν ἔχῃ, πάντα τὰ γεγονότα, καὶ τὰ ἐσόμενα ἑώρακε κατὰ τὸ ὁμοειδές.

Ἴδιον δὲ λογικῆς ψυχῆς, καὶ τὸ φιλεῖν τȣ̀ς πλησίον, καὶ ἀλήθεια, καὶ αἰδὼς, καὶ τὸ μηδὲν ἑαυτῆς προτιμᾷν, ὅπερ ἴδιον καὶ νόμȣ· ȣ̆τως ἄρ' ȣ̓δὲν διήνεγκε λόγος ὀρθὸς, καὶ λόγος δικαιοσύνης.

β'. Ὠδῆς ἐπιτερπȣ̃ς, καὶ ὀρχήσεως, καὶ παγκρατίȣ καταφρονήσεις, ἐὰν τὴν μὲν ἐμμελῆ φωνὴν καταμερίσῃς εἰς ἕκαστον τῶν φθόγγων, καὶ καθ' ἕνα πύθῃ σεαυτȣ̃, εἰ

Ella inoltre scorre per tutto il mondo e pel vacuo che questo ha d' intorno ; considera la figura di quello ; si estende nella immensità de' secoli ; la rigenerazione dell' universo che avviene in dati giri di tempo comprende ed osserva ; riflette che nulla di nuovo i nostri posteri vedranno, e che nulla di più videro coloro i quali sono stati prima di noi ; e che in certo modo chi è di quarant' anni , ancorchè non sia di grande ingegno , avrà veduto tutte le cose passate , e tutte le future , a cagione della somiglianza di esse tra loro .

Propio è dell' anima ragionevole amare il prossimo , la verità , il pudore , e niuna cosa preferire a se stessa : ciò ch' è propio eziandio della legge . Così la retta ragione in nulla dalla ragione della giustizia differisce 3 .

II. Tu disprezzerai i canti gradevoli , la danza , il pancrazio 4 se , la voce di buona intonazione divisa in quanti sono i tuoni , domanderai a te sopra ciascuno » questo

τὸτε ἥττων εἶ· διατραπήσῃ γάρ. ἐπὶ δὲ ὀρχήσεως τὸ ἀνάλογον ποιήσας καθ' ἑκάστην κίνησιν ἢ σχέσιν. τὸ δ' αὐτὸ καὶ ἐπὶ τῦ παγκρατίυ. ὅλως ἦν χωρὶς ἀρετῆς καὶ τῶν ἀπ' ἀρετῆς, μέμνησο ἐπὶ τὰ κατὰ μέρος τρέχειν, καὶ τῇ διαιρέσει αὐτῶν εἰς καταφρόνησιν ἰέναι· τὸ δ' αὐτὸ καὶ ἐπὶ τὸν βίον ὅλον μετάφερε.

γ'. Οἵα ἐςὶν ἡ ψυχὴ ἡ ἕτοιμος, ἐὰν ἤδη ἀπολυθῆναι δέῃ τῦ σώματος, καὶ ἤτοι σβεσθῆναι ἢ σκεδασθῆναι, ἢ συμμεῖναι; τὸ δὲ ἕτοιμον τῦτο, ἵνα ἀπὸ ἰδικῆς κρίσεως ἔρχηται, μὴ κατὰ ψιλὴν παράταξιν, ὡς οἱ Χριςιανοί, ἀλλὰ λελογισμένως, καὶ σεμνῶς, καὶ ὥςε καὶ ἄλλον πεῖσαι, ἀτραγῴδως.

δ'. Πεποίηκά τι κοινωνικῶς; ὐκῦν ὠφέλημαι· τῦτο ἵνα ἀεὶ πρόχειρον ἀπαντᾷ, καὶ μηδαμῦ παύυ.

tuono mi ha egli vinto ? poichè ne sentirai rossore; e se della danza farai lo stesso, ciascun movimento e gesto esaminando; e se il medesimo intorno al pancrazio praticherai. Tutto quello ch' è fuori della virtù, e che dalla virtù non dipende, ti sia in mente di scorrere a parte a parte: e con tal divisione giugnerai a disprezzarlo. Porterai teco questa regola per tutta la vita.

III. Oh quale è l'anima che, se bisogna, sta pronta a sciogliersi subitamente dal corpo, sia per estinguersi sia per dissiparsi, od a restare in quello! Pronta io dico; ma con prontezza che dal suo giudizio dipenda, non da mera ostinazione, come ne' cristiani 5; ma con saviezza, con gravità, ed in modo da persuadere altrui, senza far l'eroe da tragedia[1].

IV. Ho io fatta alcuna cosa per la società? Dunque a me ho recato vantaggio. Questo discorso ti sia presente in ogni tempo; non abbandonarlo.

ε΄. Τίς σου ἡ τέχνη; ἀγαθὸν εἶναι. τοῦτο δὲ πῶς καλῶς γίνεται, ἢ ἐκ θεωρημάτων, τῶν μὲν περὶ τῆς τοῦ ὅλου φύσεως, τῶν δὲ περὶ τῆς ἰδίας τοῦ ἀνθρώπου κατασκευῆς;

ϛ΄. Πρῶτον αἱ τραγῳδίαι παρήχθησαν ὑπομνηστικαὶ τῶν συμβαινόντων, καὶ ὅτι ταῦτα οὕτω πέφυκε γίνεσθαι, καὶ ὅτι οἷς ἐπὶ τῆς σκηνῆς ψυχαγωγεῖσθε, τούτοις μὴ ἄχθεσθε ἐπὶ τῆς μείζονος σκηνῆς. ὁρᾶτε γάρ, ὅτι οὕτω δεῖ ταῦτα περαίνεσθαι, καὶ ὅτι φέρουσιν αὐτὰ καὶ οἱ κεκραγότες, Ἰὼ Κιθαιρών.

Καὶ λέγεται δέ τινα ὑπὸ τῶν τὰ δράματα ποιούντων χρησίμως. οἷόν ἐστιν ἐκεῖνο μάλιστα·

„ Εἰ δ' ἠμελήθην ἐκ θεῶν καὶ παῖδ' ἐμὼ

„ Ἔχει λόγον καὶ τοῦτο „.

Καὶ πάλιν,

„ Τοῖς πράγμασιν γὰρ οὐχὶ θυμεῖσθαι „

v. Che professione hai tu? — Di essere virtuoso. — Ma che buon mezzo per farsi tale? — La contemplazione della natura dell' universo e della costituzion particolare dell' uomo.

vi. Le tragedie sul principio introdotte furono a ricordar gli accidenti, ed a ricordare insieme che questi quali in quelle si osservano sogliono avvenire; ed acciò le catastrofi che dalle scene teatrali dilettano l' animo non sembrino insopportabili nella gran scena del mondo: poichè vedete dover esse tutte in tal modo realmente avvenire, e così doverle comportare anche coloro ch' esclamano » o Citerone! » 6

Non pertanto i poeti che drammi compongono tragici dicono alcune utili cose: specialmente quella,

» Se gl' iddii me negligono e i miei figli,
» Ha questo sua ragion. » 7

Ed inoltre

» Con le cose adirarti non conviene. » 8

uuu

Καὶ, [illegible]

„ Βίον θερίζειν, ὥστε κάρπιμον στάχυν. „

καὶ ὅσα τοιαῦτα. [illegible]

Μετὰ δὲ τὴν τραγῳδίαν ἡ ἀρχαία κωμῳδία παρήχθη, παιδαγωγικὴν παρρησίαν ἔχουσα, καὶ τῆς ἀτυφίας οὐκ ἀχρήστως δι' αὐτῆς τῆς εὐθυρρημοσύνης ὑπομιμνήσκουσα· πρὸς οἷόν τι καὶ Διογένης ταυτὶ παρελάμβανε.

Μετὰ ταῦτα τίς ἡ μέση κωμῳδία, καὶ λοιπὸν ἡ νέα πρὸς τί ποτε παρείληπται, ἢ κατ' ὀλίγον ἐπὶ τὴν ἐκ μιμήσεως φιλοτεχνίαν ὑπερρύη, ἐπίστησον. ὅτι μὲν γὰρ λέγεται καὶ ὑπὸ τούτων τινὰ χρήσιμα, οὐκ ἀγνοεῖται· ἀλλὰ ἡ ὅλη ἐπιβολὴ τῆς τοιαύτης ποιήσεως καὶ δραματουργίας πρὸς τίνα ποτὲ σκόπον ἀπέβλεψε.

ζ'. Πῶς ἐναργὲς προσπίπτει τὸ μὴ εἶναι ἄλλην βίου ὑπόθεσιν εἰς τὸ φιλοσοφεῖν οὕτως ἐπιτήδειον, ὡς ταύτην ἐν ᾗ νῦν ὢν τυγχάνεις;

η'. Κλάδος τοῦ προσεχοῦς κλάδου ἀποκο-

E, ...
» Come le spighe mietesi la vita. » 9
Ed altre simili.

Dopo la tragedia l'antica commedia si inventò, che, usando magistrale franchezza e dicendo i veri nomi 10, non senza util successo ammoniva contra l'orgoglio. Diogene, col medesimo fine, trasse da questa alcuni luoghi.

Considera poi qual fu la commedia mezzana 11, e finalmente come successe la nuova, in cui a poco a poco l'arte comica divenne imitazione 12. È noto che pure in queste dicansi alcune utili cose. Ma l'universal principio di tal sorta di poesia e di rappresentanza drammatica quale scopo ebbe in mira? 13

VII. Oh come ritrovi manifesto non esservi specie di vita più atta al filosofare di quella che or stai menando!

VIII. Il ramo staccato dal ramo cui era

πεὶς, οὐ δύναται μὴ καὶ τοῦ ὅλου φυτοῦ ἀπο-
κεκόφθαι. οὕτω δὴ καὶ ἄνθρωπος, ἑνὸς ἀν-
θρώπου ἀποσχισθεὶς, ὅλης τῆς κοινωνίας ἀπο-
πέπτωκε. κλάδον μὲν οὖν ἄλλος ἀποκόπτει·
ἄνθρωπος δὲ αὐτὸς ἑαυτὸν τοῦ πλησίον χω-
ρίζει, μισήσας καὶ ἀποστραφείς. ἀγνοεῖ δὲ
ὅτι καὶ τοῦ ὅλου πολιτεύματος ἅμα ἀποτέτ-
μηκεν ἑαυτόν. πλὴν ἐκεῖνό γε δῶρον τοῦ συ-
στησαμένου τὴν κοινωνίαν Διός. ἔξεστι γὰρ
πάλιν ἡμῖν συμφῦναι τῷ προσεχεῖ, καὶ
πάλιν τοῦ ὅλου συμπληρωτικοῖς γίνεσθαι.
Πλεονάκις μέν τοι γινόμενον τὸ κατὰ τὴν
τοιαύτην διαίρεσιν, δυσένωτον καὶ δυσαπο-
καθίστατον προχωροῦν ποιεῖ. ὅλως τε οὐχ
ὅμοιος ὁ κλάδος ὁ ἀπ' ἀρχῆς συμβλαστή-
σας, καὶ σύμπνους συμμείνας, τῷ μετὰ
τὴν ἀποκοπὴν αὖθις ἐγκεντρισθέντι. Ὅ, τι
ποτὲ λέγουσιν οἱ φυτουργοί.

Ὁμοθαμνεῖν μὲν, μὴ ὁμοδογματεῖν δέ.

θ'. Οἱ ἐνιστάμενοι προϊόντι σοι κατὰ τὸν

annesso non può non esser diviso dalla intera pianta. Così l'uomo separato dall'uomo è separato dalla intera società. Ma un'altra mano stacca il ramo, mentre l'uomo se stesso separa dal prossimo, odiando questo ed avvezzandosi a contrariarlo!... Nè si avvede che nel medesimo tempo egli da tutta la civil società si disgiugne! E' vero che Giove ha per gli uomini stabilito il dono di ritornare insieme; poichè lice ricongiugnersi al prossimo, e di nuovo concorrere al compimento del tutto sociale. Ma, se tal separazione si fa con frequenza, difficile diviene il riunirsi e ritornare allo stato primiero. Un ramo che fin dal principio vegetò annesso ad un altro, ed ha così esistito senza interrompimento, non è simile a quello che dopo la separazione fu innestato. E lo dicono gli agricoltori.

Dallo stesso albero, ma non con le stesse opinioni.

IX. Come quegli i quali ti si oppon-

gono, mentre cammini secondo la retta ragione, non possono da una giusta azion te distorre; così tu non lasciare di comportarti benignamente con loro. Ti conserva in questi due principii: non solo di essere costante nel pensare ed operare, ma bensì di esser dolce verso coloro che si studiano farti ostacolo, o che ti molestano in altro modo: poichè il corrucciarsi contra quegli è debolezza, quanto il cessar dall' azione e cedere scoraggiato. Amendue abbandonano il posto, e colui che si lascia intimorire, e colui che alienasi dal congiunto ed amico per natura.

x. Non vi ha natura inferiore all' arte: poichè le arti imitano le nature. Se ciò si ammette, ne segue con certezza che la natura più perfetta, quella che abbraccia le altre nature, non cede all' arte maggiormente ingegnosa. Or da tutte le arti le cose inferiori si fanno per le migliori. Dunque la natura comune opera così. Ed è da questo che deriva la giustizia, virtù in cui esisto-

ται τὸ δίκαιον, ἐὰν ἤτοι διαφερώμεθα πρὸς τὰ μέσα, ἢ εὐεξαπάτητοι καὶ προπτωτικοὶ καὶ μεταπτωτικοὶ ὦμεν.

ια'. Εἰ οὐκ ἔρχεται ἐπί σε τὰ πράγματα, ὧν αἱ διώξεις καὶ φυγαὶ θορυβοῦσί σε, ἀλλὰ τρόπον τινὰ αὐτὸς ἐπ' ἐκεῖνα ἔρχῃ· τὸ γοῦν κρίμα τὸ περὶ αὐτῶν, ἡσυχαζέτω, κἀκεῖνα μενεῖ ἀτρεμοῦντα, καὶ οὔτε διώκων οὔτε φεύγων ὀφθήσῃ.

ιβ'. Σφαῖρα ψυχῆς αὐτοειδὴς, ὅταν μήτε ἐκτείνεται ἐπί τι, μήτε ἔσω συντρέχῃ, μήτε συνιζάνῃ, ἀλλὰ φωτὶ λάμπηται, ᾧ τὴν ἀλήθειαν ὁρᾷ τὴν πάντων, καὶ τὴν ἐν αὐτῇ.

ιγ'. Καταφρονήσει μού τις; ὄψεται. ἐγὼ δὲ φυλάξομαι ἵνα μή τι καταφρονήσεως ἄξιον πράσσων, ἢ λέγων εὑρίσκωμαι. μισήσει; ὄψεται. ἀλλ' ἐγὼ εὐμενὴς καὶ εὔνους παντὶ, καὶ τούτῳ αὐτῷ ἕτοιμος τὸ παρορώμενον δεῖξαι, οὐκ ὀνειδιστικῶς, οὐδὲ ὡς καπτιδεικνύμενος ὅτι ἀνέχομαι, ἀλλὰ γνησίως καὶ χρη-

no tutte le altre virtudi. Sebbene la giustizia non si conserverà se per le cose indifferenti avremo trasporto, o ci lasceremo ingannare, e temerarii saremo ed incostanti.

XI. Se gli oggetti pe' quali desiderio ti turba, o avversione, non toccano la tua mente, ma in certo modo la tua mente va a loro; il tuo giudizio intorno ad essi stia in calma. Gli oggetti così resteranno immobili, e tu nè seguirli sarai veduto, nè fuggirli.

XII. L'anima è una sfera che, quando non si estende verso altro oggetto, quando non si raccoglie e non si concentra, riluce di uno splendore pel quale vede la verità di tutte le cose, e quella ch'è in lei.

XIII. Mi disprezza taluno? Ei sel vegga. Io proccurerò che niuno abbia a trovarmi facendo o dicendo cose degne di disprezzo. Mi odia? Ei sel vegga. Io dolce sarò e benigno verso tutti. Così sarò pronto insieme ad iscoprirgli il suo errore. E non oltraggiosamente, nè ostentazione facendo di

ςως, οἷος ὁ Φωκίων ἐκεῖνος, εἴ γε μὴ προσεποιεῖτο. τὰ ἔσω γὰρ δεῖ τοιαῦτα εἶναι, ϗ ὑπὸ τῶν θεῶν βλέπεσθαι ἄνθρωπον πρὸς μηδὲν ἀγανακτικῶς διατιθέμενον, μηδὲ δεινοπαθοῦντα. τί γάρ σοι κακὸν, εἰ αὐτὸς νῦν ποιεῖς τὸ τῇ φύσει σου οἰκεῖον; ἐ δέχῃ τὸ νῦν τῇ τῶν ὅλων φύσει εὔκαιρον, ἄνθρωπος τεταγμένος πρὸς τὸ γίνεσθαι δι' ὅτου δὴ τὸ κοινῇ συμφέρον;

ιδ'. Ἀλλήλων καταφρονοῦντες, ἀλλήλοις ἀρεσκεύοντες, ϗ ἀλλήλων ὑπερέχειν θέλοντες, ἀλλήλοις ὑποκατακλίνονται.

ιε'. Ὡς σαπρὸς ϗ κίβδηλος, ὁ λέγων, ἐγὼ προῄρημαι ἁπλῶς σοι προσφέρεσθαι; τί ποιεῖς, ἄνθρωπε; τοῦτο οὐ δεῖ προλέγειν. αὐτὸ φανήσεται. ἐπὶ τοῦ μετώπου γεγράφθαι ὀφείλει εὐθὺς ἡ φωνή. τοιοῦτον ἔχει, εὐθὺς ἐν τοῖς ὄμμασιν ἐξέχει· ὡς τῶν ἐραςῶν ἐν τῷ βλέμματι πάντα εὐθὺς γνωρίζει ὁ ἐρώμενος.

sofferenza; ma con sincerità e con amorevolezza: come usò Focione, se pure non simulava. Conciosiachè bisogna tale sia la interna attitudine, che gli dei veggano in essa l' uomo disposto a nulla ricever con impazienza, nulla con corruccio. In vero che a te di male, se or fai ciò che alla natura tua è conveniente? Non accetterai tu ora quello che alla natura dell' universo è opportuno, tu uomo ordinato ad operare la comune utilità?

xiv. Costoro vicendevolmente si disprezzano e si lusingano: e, mentre cercano gli uni elevarsi sopra degli altri, gli uni agli altri si sommettono.

xv. Quanto è putredinoso e mendace il dire » io ho risoluto di esser teco sincero! » O uomo che fai! Non bisogna questo prologo. La cosa apparirà da se. Le parole debbono subito comparire scritte sulla fronte, subito manifestarsi per gli occhi, come nel volto dell' amata tutto subito si offre alla in-

τοιοῦτον ὅλως δεῖ τὸν ἁπλοῦν ϗ ἀγαθὸν εἶναι, οἷον γράσωνα, ἵνα ὁ παρασὰς, ἅμα τῷ προσελθεῖν, θέλει ἢ θέλει, αἴσθηται. ἐπιτήδευσις δὲ ἁπλότητος σκάλμη ἐςίν.[14] οὐδὲν ἐςιν αἴσχιον λυκοφιλίας. πάντων μάλιςα τοῦτο φεῦγε. ὁ ἀγαθὸς, ϗ ἁπλοῦς, ϗ εὐμενὴς, ἐν τοῖς ὄμμασιν ἔχουσιν ταῦτα, ϗ οὐ λανθάνει.

ις'. Κάλλιςα διαζῆν δύναμις αὕτη ἐν τῇ ψυχῇ, ἐὰν πρὸς τὰ ἀδιάφορα ἀδιαφορῇ· ἀδιαφορήσει δὲ, ἐὰν ἕκασον αὐτῶν θεωρῇ διῃρημένως ϗ ὁλικῶς· ϗ μεμνημένος, ὅτι οὐδὲν αὐτῶν ὑπόληψιν περὶ αὐτοῦ ἡμῖν ἐμποιεῖ, οὐδὲ ἔρχεται ἐφ' ἡμᾶς· ἀλλὰ τὰ μὲν ἀτρεμεῖ· ἡμεῖς δὲ ἐσμὲν, οἱ τὰς περὶ αὐτῶν κρίσεις γεννῶντες, ϗ οἷον γράφοντες ἑαυτοῖς· ἐξὸν μὴν μὴ γράφειν, ἐξὸν δὲ κἂν που λάθῃ, εὐθὺς ἐξαλεῖψαι. Ὅτι ὀλίγου χρόνου ἔσαι ἡ τοιαύτη προσοχὴ, ϗ λοιπὸν

telligenza dell' amante. L' uom sincero e da bene esser deve, in certo modo, come un oggetto che sente del caprino: acciò chi se gli approssima, voglia o non voglia, immediatamente all' odore il riconosca. L' affettazione della sincerità è un pugnale nascosto. Nulla di più turpe che l' amicizia lupina. Fuggila sopra tutte le cose. Gli occhi dell' uomo da bene sincero cordiale hanno questo, nulla celano.

XVI. Ottima vita menar può l' anima se le cose indifferenti guarda con indifferenza. Le guarderà con indifferenza se ciascuna di quelle considererà separata ed in rapporto col tutto, e ricorderà niuna potere imprimere in noi la opinione di se; ed a noi avvicinarsi. Elleno stanno immobili. Noi siamo che i giudizii formiamo di loro e che, per così dire, nel nostro interno questi dipingiamo: essendoci lecito non dipignerli, e lecito eziandio cancellarli quante volte furtivamente si fossero introdotti. Ad ogni modo il vigilare a ciò

πεπαύσεται ὁ βίος. τί μέντοι δύσκολον καλῶς ἔχειν ταῦτα; εἰ μὲν γὰρ κατὰ φύσιν ἐςί, χαῖρε αὐτοῖς, ϗ ῥᾳδια ἔςω σοι· εἰ δὲ παρὰ φύσιν, ζήτει, τί ἐςί σοι κατὰ τὴν σὴν φύσιν. ϗ ἐπὶ τῦτο σπεῦδε, κᾂν ἄδοξον ᾖ· παντὶ γὰρ συγγνώμη τὸ ἴδιον ἀγαθὸν ζητῦντι.

ιζ'. Πόθεν ἐλήλυθεν ἕκαςον, ϗ ἐκ τίνων ἕκαςον ὑποκειμένων, ϗ εἰς τί μεταβάλλει, ϗ οἷον ἔςαι μεταβάλλον, ϗ ὡς ὐδὲν κακὸν πείσεται.

ιη. Καὶ πρῶτον τίς ἡ πρὸς αὐτῦς μοι σχέσις. ϗ ὅτι ἀλλήλων ἕνεκεν γεγόναμεν. ϗ καθ' ἕτερον λόγον, προςησόμενος αὐτῶν γέγονα, ὡς κριὸς ποίμνης, ἢ ταῦρος ἀγέλης. ἄνωθεν δὲ ἔπιθι, ἀπὸ τῦ, εἰ μὴ ἄτομοι, φύσις ἡ τὰ ὅλα διοικῦσα. εἰ τῦτο, τὰ χείρονα τῶν κρειττόνων ἕνεκεν· ταῦτα δὲ ἀλλήλων.

sarà per breve tempo; che poi finirà la vita. D' altronde, che di difficile a ben ricever le cose? Se sono secondo la natura, ne godi; esse ti recheranno agevolamento. Se sono contra la natura, ricerca in te quello ch' è secondo la natura tua, ed a questo corri, ancorchè nell' oggetto non siavi gloria. È permesso andare in cerca del propio bene.

XVII. Considera donde provenga ciascuna cosa, e di quali principii sia composta; in che cambierà, e che risulterà dal cambiamento; e come non soffrirà ella verun danno.

XVIII. Primo. Considerare quali disposizioni naturali abbia io verso gli uomini, nati noi essendo gli uni per gli altri: e che, sotto altro rapporto, io sono stato fatto per condurli, come l' ariete il gregge, il toro l' armento. Ma passa più in alto. Se i corpi non sono concorso accidentale di atomi, [15] dalla natura si regge il tutto: e, s' è così, le inferiori cose fatte sono per le migliori, e queste le une per le altre.

Δεύτερον δὲ, ὁποῖοί τινές εἰσιν ἐπὶ τῆς τραπέζης, ἐν τῷ κλιναρίῳ, τἆλλα. μάλιστα δὲ, οἵας ἀνάγκας δογμάτων κειμένας ἔχουσι· καὶ αὐτὰ δὲ ταῦτα μεθ' οἵου τύφου ποιοῦσι.

Τρίτον, ὅτι εἰ μὲν ὀρθῶς ταῦτα ποιοῦσιν, οὐ δεῖ δυσχεραίνειν· εἰ δ' οὐκ ὀρθῶς, δηλονότι ἄκοντες καὶ ἀγνοοῦντες. πᾶσα γὰρ ψυχὴ ἄκουσα στέρεται, ὥσπερ τοῦ ἀληθοῦς, οὕτως καὶ τοῦ κατ' ἀξίαν ἑκάστῳ προσφέρεσθαι. ἄχθονται γοῦν ἀκούοντες ἄδικοι, καὶ ἀγνώμονες, καὶ πλεονέκται, καὶ καθάπαξ ἁμαρτητικοὶ περὶ τοὺς πλησίον.

Τέταρτον, ὅτι καὶ αὐτὸς πολλὰ ἁμαρτάνεις, καὶ ἄλλος τοιοῦτος εἶ. καὶ εἴ τινων δὲ ἁμαρτημάτων ἀπέχῃ, ἀλλὰ τήν γε ἕξιν ποιητικὴν ἔχεις, εἰ καὶ διὰ δειλίαν, ἢ δοξοκοπίαν, ἢ τοιοῦτό τι κακὸν ἀπέχῃ τῶν ὁμοίων ἁμαρτημάτων.

Πέμπτον, ὅτι οὐδὲ εἰ ἁμαρτάνουσι κα-

Secondo. Considerare quali sieno gli uomini alla mensa, nel letto, altrove: ma soprattutto quali necessitadi soffrano per le regole che si sono prescritte, e con quale sterigia queste mettano in opera.

Terzo. Che, se operano rettamente, non bisogna sentirne dispiacere; e che se non rettamente, ciò è chiaro avvenire contra lor voglia, e per ignoranza: poichè, come ogni anima quando è privata della verità lo è suo malgrado, così ella, non volendo, resta impedita di comportarsi con ciascuno secondo conviene. Quindi non tollerano di esser chiamati ingiusti, sconoscenti, vantaggiosi, in somma proclivi a peccare contra il prossimo.

Quarto. Che tu pecchi sovente come un altro. E che, se ti astieni da certi falli, non per tanto hai la inclinazione a commetterli: sebbene per timore, o per vanità, o per altro simile vizio te da falli sì fatti reprimi.

Quinto. Non esser tu sicuro che gli al-

τείληφας. πολλὰ γὰρ κατ' οἰκονομίαν γίνεται, καὶ ὅλως πολλὰ δεῖ πρότερον μαθεῖν, ἵνα τις περὶ ἀλλοτρίας πράξεως καταληπτικῶς τι ἀποφήνηται.

Εκτον, ὅτι ὅταν λίαν ἀγανακτῇς, ἢ καὶ δυσπαθῇς, ἀκαριαῖος ὁ ἀνθρώπειος βίος, καὶ μετ' ὀλίγον πάντες ἐξετάθημεν.

Εβδομον, ὅτι οὐχ αἱ πράξεις αὐτῶν ἐνοχλοῦσιν ἡμῖν. ἐκεῖναι γάρ εἰσιν ἐν τοῖς ἐκείνων ἡγεμονικοῖς. ἀλλὰ αἱ ἡμέτεραι ὑπολήψεις. ἆρον γοῦν, καὶ θέλησον ἀφεῖναι τὴν ὡς περὶ δεινοῦ κρίσιν, καὶ ἀπῆλθεν ἡ ὀργή. πῶς οὖν ἀρῶ; λογισάμενος, ὅτι οὐκ αἰσχρόν. ἐὰν γὰρ μὴ μόνον ᾖ τὸ αἰσχρὸν κακόν, ἀνάγκη καὶ σε πολλὰ ἁμαρτάνειν, καὶ λῃστὴν καὶ παντοῖον γίνεσθαι.

Ογδοον, ὅσῳ χαλεπώτερα ἐπιφέρουσιν αἱ ὀργαὶ καὶ λῦπαι αἱ ἐπὶ τοῖς τοιούτοις, ἤπερ αὐτά ἐστιν ἐφ' οἷς ὀργιζόμεθα καὶ λυπούμεθα.

tri pecchino: poichè molte cose fannosi per private ragioni. In generale bisogna esser informato di molte cose, prima di pronunziare sulla qualità delle azioni altrui.

Sesto. Che, quando ti conturbi, t'irriti, e ti manca la sofferenza, devi ricordare la vita umana durar momenti, e che in breve tutti saremo estinti.

